A. 2. Dem gemäß steht von räumlichen Maßangaben am gewöhnlichsten der Ac.: (τὸ) *μέγεθος, μῆκος, εὖρος, βάθος, ὕψος* an Größe ꝛc.; eben so *τὸν ἀριθμόν*, während *ἀριθμῷ* ꝛc. mehr vermöge, gemäß bedeutet. [Lob. Paralipp. p. 528.] *Οὐδεὶς ξύνοιδεν ἐξαμαρτάνων πόσον ἁμαρτάνει τὸ μέγεθος, ὕστερον δ' ὁρᾷ. Μέ. Τὸν ἀριθμὸν ὀλίγοι οἱ τὴν ἀρετὴν ἔχοντες. Ἀρλ. Ἔσιι διττὸν τὸ ἴσον· τὸ μὲν γὰρ ἀριθμῷ, τὸ δὲ κατ' ἀξίαν ἐστί, λέγω δὲ ἀριθμῷ μὲν τὸ πλήθει ἢ μεγέθει ταὐτὸ καὶ ἴσον, κατ' ἀξίαν δὲ τὸ τῷ λόγῳ. Ἀρλ.*

A. 3. Selten erscheint neben *ὄνομα*, *τοὔνομα* Namens *ὀνόματι* (Xen. An. 1, 4, 11, Hell. 1, 6, 29), das auch dem Namen nach, unter dem Namen, Vorgeben bedeutet (Thuc. 6, 10 vgl. 4, 60 *τῷ ὀνόματι* 3, 10 vgl. 6, 80). *Ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση. Εὐ.*

A. 4. Als solche Accusative erscheinen ferner *τί, τὶ, οὐδέν, μηδέν* und auch andere substantivirte Neutra. *Τί τῶν ἁπάντων σὺ χρήσιμος εἶ; Δη. Ἡ πόλις ἡμῶν οὐδὲν ὁμοία γέγονεν ἐκείνοις. Ἰσ. Χρὴ ἀγαθὸν τοῦτο γενέσθαι ὃ ἂν καὶ δοκεῖν (ἀγαθὸς) βούλῃ. Ξε. Κἂν φαῦλος ᾖ τἄλλ', εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτερος. Εὐ. Πάντα σοφὸν οὐχ οἷόν τε ἄνθρωπον εἶναι. Ξε. Ἂν εὖ φρονῇς, τὰ πάντα γ' εὐδαίμων ἔσῃ. Γν.*

(A. 5. Verschieden (von N. 4) ist der Fall wo mit einem Nomen nach der Analogie des zugehörigen Verbums ein transitiver Ac. verbunden wird, wie regelmäßig mit *ἕξαρνος* (mit dem Ge. Isokr. 21, 3). *Ἔστι τις Σωκράτης τὰ μετέωρα φροντιστής. Πλ. Ἐπισήμονες ἦσαν τὰ προσήκοντα. Ξε. Ἕξαρνοί εἰσι τὰ ὡμολογημένα. Ἰσ.*)

(A. 6. Mit Adjectiven kann ein stamm- oder sinnverwandter Ac., durch ein Adjectiv näher bestimmt, verbunden werden. *Ὁρῶμεν τοὺς πολλοὺς κακοὺς πᾶσαν κακίαν. Πλ. Οἱ θεοὶ ἀγαθοί εἰσι πᾶσαν ἀρετήν. Πλ. Ὁ τῷ ὄντι τύραννος τῷ ὄντι δοῦλος τὰς μεγίστας θωπείας καὶ δουλείας. Πλ.*)

A. 7. Oefter geschieht eben dies bei Verben nach folgendem allgemeinern Sprachgesetze.

II. Accusativ des Inhaltes.

5. Häufiger als in andern Sprachen wird im Griechischen mit Verben aller Art ein stamm- oder sinnverwandter Ac. verbunden, sowohl wo er als transitives Object da steht, als wo er den Gegenstand bezeichnet über den als ihren Inhalt die Handlung sich erstreckt: Ac. des Inhaltes. *Δεῖ τὸν στρατιώτην φοβεῖσθαι τὸν ἄρχοντα, εἰ μέλλει φυλακὰς φυλάξειν. Ξε. Ἀθήνησιν ὁ δῆμός ἐστιν ὁ ἄρχων τὰς ἀρχάς. Ξε. — Πεσεῖ ἀτίμως πτώματ' οὐκ ἀνασχετά. Αἰσχ. Οἳ ἐρῶντες ἐθέλουσι δουλείας δουλεύειν οἵας οὐδ' ἂν δοῦλος οὐδείς. Πλ. Ἀτύχημα οὐδὲν ἔλαττον ἠτύχησαν ἢ τὸ ἐξ ἀρχῆς πονηροῖς ἀνθρώποις συμμῖξαι. Δη. — Ζήσεις βίον κράτιστον, ἢν θυμοῦ κρατῇς. Μέ. Θεοῦ βίον ζῆν ἀξιοῖς ἄνθρωπος ὤν; Εὐ. Ποῖος ἂν εἴη θάνατος καλλίων ἢ ὃν ἂν κάλλιστά τις ἀποθάνοι; Ξε. — Ἰατροὶ δεινότατοι ἂν γένοιντο, εἰ αὐτοὶ πάσας νόσους κάμοιεν.*

Πλ. Ἐκδήμους στρατείας πολὺ ἀπὸ τῆς ἑαυτῶν οὐκ ἐξήεσαν οἱ Ἕλληνες. Θ. [Τὸν ἱερὸν πόλεμον ἐστράτευσαν. Θ. Ἡ Κέρκυρα αὐτάρκη θέσιν ἔκειτο. Θ. Τὸν τῇ πόλει δεῖ συμφέροντα γάμον μνηστεύειν ἕκαστον. Πλ.]

A. 1. Es wäre eine Tautologie, wenn der Ac. bloß denselben Begriff wie das Verbum und nicht mehr enthielte. Unstatthaft wäre mithin schlechtweg *βασιλείαν βασιλεύειν*, *πόλεμον πολεμεῖν* für das bloße *βασιλεύειν* und *πολεμεῖν* oder *πόλεμον ποιεῖσθαι*. Unanstößig aber ist ein solcher Ausdruck, wenn eine nähere Bestimmung dem Ac. beigefügt wird: *ἡ πόλις κοινὸν πόλεμον πολεμεῖ* (Ξε.), oder der Ac. dem allgemeinern Begriffe des Verbums eine bestimmte Sphäre zuweist. *Οἱ Κοτυωρῖται φόρον τοῖς Σινωπεῦσιν ἔφερον. Ξε. Τοῖς Παναθηναίοις ἐν ὅπλοις τῶν πολιτῶν οἱ τὴν πομπὴν πέμψοντες ἀθρόοι ἐγένοντο. Θ. Χρήματα βούλεται λαβεῖν ἢ ἀρχὴν ἄρξαι. Πλ. Ἀπείρηκα ἤδη φυλακὰς φυλάττων. Ξε.*

A. 2. In manchen Fällen gilt als nähere Bestimmung des Ac. der Artikel. *Οὐκ ἀνὴρ μὴ οὐ τέχνην μαθὼν δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον. Φιλ.* So *τὸν πόλεμον πολεμεῖν* Thuc. 8, 58, vgl. 1, 1, d. h. den vorliegenden Krieg; *τοὺς ἐπαίνους ἐπαινοῦσι καὶ τοὺς ψόγους ψέγουσιν* Plat. Gorg. 483, d. h. die bezüglichen, eben vorkommenden; ja selbst der Plural, da z. B. *πόλεμοι* mehrere Kriege bedeutet, wie Xen. Hier. 2, 12. So *ἐτριηράρχησε τριηραρχίας* Dem. 45, 85, *χρή με δικάζειν δίκας* Ar. Wesp. 414. Komisch steigernd ist *λῆρον ληρεῖς* Ar. Thesm. 880, Plut. 517, wie *μανίας μαίνεσθε* Thesm. 793. Doch findet sich auch *τι μόχθον μοχθεῖς* Eu. Andr. 134, Andromeda 8, *ὕβριν ὑβρίζειν* Bacch. 246, 1297, Herk. 708. 741, *χάριν χαρίζου καθ'ὅσον ἰσχύεις ὅμως* Gnom. 39 und *ῥᾷον βίον ζῇς, ἂν γυναῖκα μὴ τρέφῃς* eb. 80, wo vielleicht *ῥάω* zu lesen ist.

A. 3. Der Dativ erscheint vielfach in ähnlichen Verbindungen, aber qualitativ, während der Ac. rein den Inhalt bezeichnet, also *ὁδόν, δρόμον* die Wege- oder Bahnstrecke; *ὁδῷ* auf einem Wege im Gegensatze zu unwegsamem Terrain, *δρόμῳ* durch, im Laufe. So *γάμον γαμεῖν* mit Bezug auf den Gegenstand, *γάμῳ γ.* im Gegensatze zu einer andern Verbindung. *Οὗτοι τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν ἣν πᾶσιν ἐλθεῖν ἐστ' ἀναγκαίως ἔχον προεληλύθασιν. Ἀντιφάνης. Ἐπορεύετο τῇ ὁδῷ ἣν αὐτὸς ἐποιήσατο. Θ. Ἔλαυνε τὸν σαυτοῦ δρόμον. Ἀρ. Ὁρῶμεν πάντα ἀεὶ ἰόντα δρόμῳ καὶ τρέχοντα. Πλ. Τοὺς παρὰ τοῖς ἔμφροσιν εὐδόξους γάμους χρὴ γαμεῖν. Πλ. Γάμῳ γεγαμηκὼς τὴν ἐμὴν μητέρα ἑτέραν εἶχε γυναῖκα. Δη. Ἀνδρὸς οὐκ ἄξιον δειλὸν κεκλῆσθαι καὶ νοσεῖν αἰσχρὰν νόσον. Εὐ. Μηδαμῶς ἡγοῦ ἀνηκέστῳ πονηρίᾳ νοσεῖν Ἀθηναίους. Ξε.*

A. 4. Nach dieser Analogie werden häufig substantivirte Neutra im Ac. gesetzt wo wir bald Adverbia bald Präpositionen gebrauchen. So *ὑβρίζειν δεινά* wie *δεινὴν ὕβριν ὑβρίζειν, δεῖσθαι μέτρια* wie *μετρίαν δέησιν δεῖσθαι* ꝛc. *Ἥλιοτο ὑψηλὰ καὶ κούφως. Ξε. Ἅπαντα δουλεύειν ὁ δοῦλος μανθάνει. Μέ. Φεῦ, φεῦ τὸ νικᾶν τἄνδιχ' ὡς καλὸν γέρας, τὰ μὴ δίκαια δ', ὡς ἅπανταχοῦ κακόν. Εὐ. — Οὐ πανταχοῦ τὸ φρόνιμον ἁρμόττει παρὸν καὶ συμμανῆναι ἔνια δεῖ. Μέ. Ἡ πόλις βραχέα ἡσθεῖσα μεγάλα ζημιώσεται. Θ. — Οὐκ ἔστιν ὅστις παντ' ἀνὴρ εὐδαιμονεῖ. Γν. Ἅπαντ' ἐρίζεις καὶ ξυνίης οὐδὲ ἕν. Γν. — Οἶκος ἐν ᾧ τὰ πάντα πρωτεύει γυνὴ οὐκ ἔστιν ὅστις πώποτ' οὐκ ἀπώλετο. Γν. Δεήσομαι καὶ δίκαια καὶ μέτρια ὑμῶν, βοηθῆσαί μοι τὰ δί-*

καια. Δη. Οὐκ ὠφελῶ σε τὰ ψευδῆ ἐπαινῶν. Ξε. Τὰ ἐναντία στρέψαντες ἔφευγον. Ξε. Προσήκετε ἡμῖν τὰ μέγιστα. Θ. — Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην. Αἰσχ. Εὐσέβει τὰ πρὸς τοὺς θεούς. Ἰσ.

A. 5. Bei den Verben des Nützens und Schadens erscheint selten *μάλα*, gewöhnlich *μεγάλα*, *πολλά* ꝛc. *Κινδύνων οὗτοι σπανιώτατοι οἳ ἂν ἐλάχιστα ἐκ τοῦ σφαλῆναι βλάπτοντες πλεῖστα διὰ τὸ εὐτυχῆσαι ὠφελῶσιν. Θ.*

A. 6. Seltener als der Plural findet sich auf diese Weise der Singular substantivirter Adjective, am gewöhnlichsten in gewissen feststehenden Formeln, zum Theil neben dem Plural. So *μέγα* und *μεγάλα δύνασθαι* viel vermögen, mächtig sein; *μέγα* (selten *μεγάλα*) *φρονεῖν* stolz sein; *μέγα* (*σμικρὸν*) *φθέγγεσθαι, λέγειν, βοᾶν* ꝛc. laut (leise) reden, schreien; daneben *μέγα* und *μεγάλα λέγειν* großsprechen; *πολὺ νικᾶν* entschieden siegen; *ἡδύ, κακὸν ὄζειν* gut, schlecht riechen; *ὀξύ, ἀμβλύ, ὑτερον, ὑτατα βλέπειν, ὁρᾶν, ἀκούειν* scharf, schwach ꝛc. sehen, hören. *Οὓς ἂν κακῶς τις ποιῇ φοβεῖσθαι δεῖ μή ποτε μέγα δυνασθῶσιν. Ξε. Ἢ φρονεῖν ἐλάσσονα ἢ δύνασθαί σε δεῖ μείζονα. Εὐ. Θάρσει, τό τοι δίκαιον ἰσχύει μέγα. Εὐ. — Ὅτ' εὐτυχεῖς μάλιστα μὴ φρόνει μέγα. Γν. Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα. Σο. — Μέγα φθέγγεται καὶ βακτηρίαν φορεῖ. Δη. Τῇ φωνῇ μέγα ἔλεγεν. Πλ. Ἴσχε στόμ', ὡς μὴ μέγα λέγων μεῖζον πάθῃς. Εὐ. Μὴ μεγάλα λίαν λέγε. Ἀρ. — Καλόν τι δοκεῖ εἶναι τὸ πολὺ νικᾶν. Ξε. — Ὀξὺ ὁρᾷ καὶ ἀκούει. Πλ. Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα. Μέ. Πολλὰ ὀξύτερον βλεπόντων ἀμβλύτερον ὁρῶντες πρότεροι εἶδον. Πλ. Νέος ὢν πᾶς ἄνθρωπος ἀμβλύτατα αὐτὸς αὑτοῦ ὁρᾷ, γέρων δὲ ὀξύτατα. Πλ. — Μύρῳ ὁ ἀλειψάμενος καὶ δοῦλος καὶ ἐλεύθερος εὐθὺς ἅπας ὅμοιον ὄζει. Ξε. Ὄζειν ἐδόκει τοῦ ἄρτου κάκιστον. Αν.* [Mehr poetisch ist *μέγα εὐδαίμων* Xen. Cyr. 5, 1, 28 u. ä.]

(A. 7. Doch findet sich auch außer diesen und analogen Verbindungen hin und wieder der Singular, selbst mit dem Artikel. *Πᾶς ἐκὼν Ἔρωτι πᾶν ὑπηρετεῖ. Πλ. Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην. Αἰσχ. Σωκράτης δίκαιος ἦν οὕτως ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους ἑαυτῷ. Ξε. Σμικρὸν φροντίσατε Σωκράτους, τῆς δὲ ἀληθείας πολὺ μᾶλλον. Πλ. Ἐνόμιζον τὴν ξυμμαχίαν μέγιστον ἂν σφᾶς ὠφελήσειν. Θ. Ἐτόλμησε ψεύσασθαι πάντων δεινότατον. Δη. Ἐᾶσαι χρὴ τοὺς ἄνδρας τὸ μέτριον ἀποχοιμηθῆναι. Ξε.*)

A. 8. Als ähnliche Accusative zu betrachten sind auch die Neutra der Comparative und Superlative als Adverbia (beide ohne Artikel) vgl. § 23, 9; im Comparativ der Singular da hier leichter als beim Superlativ eine zusammengefaßte Einheit denkbar ist. *Τοῦ ὑπὸ σοῦ κριθέντος χαλεπώτατα ζῆν χαλεπώτερον ἔτι ζῇ ὁ τυραννῶν. Πλ.*

A. 9. In gleicher Weise (wie A. 4 ff.) werden auch Accusative substantivirter Neutra der Pronominaladjective gebraucht, so wie *ἕν* und *οὐδέν*, wo wir meist ein Adverbium oder eine Präposition gebrauchen: *οὐδὲν φροντίζω* kümmere mich gar nicht (vgl. § 47, 11 A. 4), *χαίρω τι* freue mich über etwas, *χρῶμαί τι* gebrauche irgend wie oder wozu, wie auch der Grieche *χρῆσθαι πρός, ἐπί, εἴς τι* sagt. *Τί ἦσθην ἄξιον χαιρηδόνος; Ἀρ. Τί χρήσαιτ' ἄν τις ἰσχυρῷ*

ἢ ἀνδρείῳ μὴ σώφρονι; Ξε. Τῇ σκέψει τόδε χρησώμεθα. Πλ. Τοῦτο μὴ ἀνάγκαζέ με. Πλ. Ἡμῶν οὐδὲν κήδεσθαι οὐδέ τι φροντίζειν ἔοικας. Πλ. Ἐν τουτὶ ἀμφισβητοῦμεν. Πλ. — Οἱ ὀλωλότες οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά. Εὐ. Λεῖ ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ χαίρειν τοῖς πολλοῖς. Λη. Τάδ' ἄχθονται βροτοί, εἰς γῆν φέροντες γῆν. Εὐ. Ἐπείσθητε ἃ δεόμεθα. Θ. Ἰάσων ἱκανὸς ἦν καὶ νυκτὶ ἅπερ ἡμέρᾳ χρῆσθαι. Ξε. Λιμῷ ὅσαπερ ὄψῳ διαχρῆσθε. Ξε. Vgl. § 48, 15 A. 11. 13. 14.

A. 10. Dieſer Ac. iſt mehrfach verwandt mit dem R. 4 erwähnten. Man vgl. *χρῆσθαί τι, εὐδαιμονεῖν πάντα* mit *χρήσιμός τι, εὐδαίμων πάντα* u. a.

A. 11. Bei *πράττειν* findet ſich nicht bloß *εὖ, κακῶς* in der Bedeutung glücklich, unglücklich ſein, ſondern ähnlich auch der Ac. ſubſtantivirter Adjectiva und Pronominaladjectiva. *Οὐκ εὐτυχοῦντας εὖ δοκῶ πράξειν ἀεί. Εὐ. Πῶς ἔχεις; τί πράττεις; Εὐ. Προσδόκα δὴ δρῶν κακῶς κακόν τι πράξειν. Εὐ. Ἔδεισαν μὴ τῶν παρόντων ἔτι χείρω πράξωσιν. Θ. Λοῦλοι ἔσεσθε, ἢν τὰ ἄριστα πράξητε. Θ.* (*Πράσσει ὁ κόλαξ ἄριστα πάντων. Μέ.*)

6. Für den Ac. des Inhaltes kann auch der Gegenſtand auf den der Begriff deſſelben ſich bezieht eintreten, z. B. wie *νικᾶν νίκην* auch *νικᾶν μάχην*, wie *θύειν θύματα* auch *θύειν Ἡράκλεια* geſagt werden. *Ὅσοι γαμοῦσιν ἢ γένει κρείσσους γάμους ἢ πολλὰ χρήματ' οὐκ ἐπίστανται γαμεῖν. Εὐ. Σιτήσεις δίδοτε τοῖς τὴν μάχην νικήσασι. Αἰ. Κύλων Ὀλύμπια ἐνενικήκει. Θ. Νενικηκότα παγκράτιον αὐτὸν ἦκεν ἄγων. Ξε. Ψήφισμα νικᾷ Δημοσθένης. Αἰ. Οἱ ῥήτορές εἰσιν οἱ νικῶντες τὰς γνώμας. Πλ. — Πρῶτος εἴσεισιν ὁ τὸ στάδιον ἁμιλλησόμενος. Πλ. Ἠγωνίζοντο παῖδες μὲν στάδιον, δόλιχον δὲ Κρῆτες, πάλην δὲ καὶ πυγμὴν καὶ παγκράτιον ἕτεροι. Ξε. Ἀριστοκράτης γραφὴν ἠγωνίζετο παρανόμων. Δη. — Τὰ Ἡράκλεια ἐντὸς τείχους θύειν ἐψηφίζεσθε. Δη. Ὁ πατὴρ γάμους εἱστίασεν. Ἰσαῖ. Ἤξίουν αὐτοὺς συμμαχίαν ὀμνύναι. Ξε. — Σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω. Σο.*

A. 1. Auch hier erſcheint der Dativ in ähnlichen Verbindungen: durch, vermöge; daneben *ἔν. Τυγχάνω νενικηκὼς εὐανδρίᾳ καὶ λαμπάδι καὶ τραγῳδοῖς. Ἀνδ. Τὸ ἐν πολέμῳ νικᾶν πολλῷ εὐδοξότερον ἢ πυγμῇ. Ξε.*

A. 2. Hieher gehören auch Ausdrücke wie *προκαλεῖσθαι δίκην* (Thuc. 1, 39 vgl. Ar. Ritter 796) neben *π. ἐς δίκην; διώκειν δίκην* (Iſ. 18, 5); *πρεσβεύειν εἰρήνην* als Geſandter einen Frieden verhandeln (Iſ. 4, 177, Dem. 19, 273, Aeſch. 3, 80 vgl. 2, 136); *σπένδεσθαι ἀναχώρησιν* durch Vertrag Abzug auswirken (Thuc. 3, 109. 114 vgl. 24); *ἡγεῖσθαι ὁδόν* (An. 5, 4, 10. 6, 3, 10, Kyr. 3, 2, 28. 4, 2, 14 vgl. Ar. Frieden 1093); *ἰέναι τὴν μεσόγαιαν* (Her. 7, 121), *ἐξήεσαν τὴν ἀμφίαλον* (Xen. Hell. 4, 2, 13), *πορεύεσθαι πεδίον, ὄρη* (Xen. An. 4, 4, 1. 2, 5, 18); wie ähnlich *τρέχειν ὄρεια, πρανῆ* ꝛc. (Reitk. 8, 1 vgl. 6), ja auch *ἰέναι ὄρθιον, ὁμαλές* (An. 4, 6, 12); und nach dieſer Analogie ſelbſt *δίκην, γραφὴν εἰσιέναι, εἰσελθεῖν* (Iſ. 18, 24. 38. 51, Dem. 18, 105. 21, 6. 28, 17. 34, 1. 37, 39.

A. 3. Auf dieſe Weiſe haben viele intranſitive Verba tranſitive Bedeutung erhalten, wo wir meiſt eine Vorſylbe, be-, er-, ver-, gebrauchen. So *πλεῖν θάλασσαν* das Meer beſchiffen, *οἰκεῖν οἰκίαν* ein Haus bewohnen oder (verwalten), eine Wirthſchaft führen, *σπεύδειν τι* etwas betreiben, *βιάζεσθαί τι* etwas erzwingen, *ἐρωτᾶν τι* etwas erfragen, um etwas befragen, *σιγᾶν* und *σιωπᾶν τι* etwas verſchweigen, *ἀποκρίνεσθαί τι* etwas beantworten ꝛc. *Τίς κίνδυνος μείζων ἀνθρώποις ἢ χειμῶνος ὥρᾳ πλεῖν τὴν θάλασσαν; Ἀνδ. Οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ. Γν. Δεῖ γυναῖκα εὖ οἰκεῖν τὴν οἰκίαν. Πλ. — Γάμους ὅσοι σπεύδουσι μὴ πεπρωμένους μάτην πονοῦσιν. Εὐ. Μὴ σπεύδετ' ἀσπούδαστα. Εὐ. Σπουδάζομεν τὴν φρόνησιν καὶ ταῖλλα πάντα τὰ καλά. Πλ. Τὴν παρασκευὴν ἅπασαν ἐπείγονται. Θ. Πλειστοάναξ προὐθυμήθη τὴν ξύμβασιν. Θ. Βιάσασθαι ἐβούλοντο τὸν ἔσπλουν. Θ. — Τὴν ἡδονὴν ἐρωτῶ εἰ οὐκ ἀγαθόν ἐστιν. Πλ. Χαλεπὸν δοκεῖ τὸ ἀποκρίνασθαι τὰ ἐρωτώμενα. Πλ. Μαρτυρεῖν ἀκοὴν οὐκ ἐῶσιν οἱ νόμοι. Δη. Ἀτὰρ σιωπᾶν τά γε δίκαι' οὐ χρή ποτε. Εὐ. Σκώπτει τὸν λόγον ἡμῶν. Πλ. Θνητὸς πεφυκὼς μὴ γέλα τεθνηκότα. Γν. Πᾶς τις δακρύει τοὺς προσήκοντας φίλους. Εὐ. Τί ταῦτα δεῖ στένειν ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν. Εὐ.*

A. 4. Das Object tranſitiv gewordener Intranſitiva iſt oft auch ein perſönlicher Begriff, z. B. *μὴ σκῶπτέ με. Ἀρ. ᾄδει τὸν θεόν. Πλ.* Die Ueberſetzung iſt dabei zuweilen abweichend. So bei *ὀμνύναι θεόν* bei einem Gotte ſchwören und analog *ἐπιορκεῖν θεόν; βιάζεσθαι ἄνδρας (ναῦς)* mit Gewalt verdrängen. *Ταῦτα ὄμνυμί σοι τοὺς θεούς. Ξε. Θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι. Μέ. (Μαρτύρομαι νῦν αὐτὴν τὴν θεόν. Πλ.) Βιασάμενοι τοὺς πολεμίους παρῆλθον. Ξε.*

A. 5. Aehnlich haben manche Verba auf *εύω* tranſitive Bedeutung erhalten. *Θεράπευε τὸν δυνάμενον, ἅνπερ νοῦν ἔχῃς. Μέ. Δεῖ μᾶλλον θωπεύειν παιρίδα χαλεπαίνουσαν ἢ πατέρα. Πλ. Τί ἥδιον ἢ μηδένα ἀνθρώπων κολακεύειν; Ξε. Τοὺς δούλους σχεδόν τι οἱ δοῦλοι τὰ πολλὰ ἰατρεύουσιν. Πλ. Παυσανίας Πλειστάρχον ἐπετρόπευεν. Θ. — Χρόνος διέρπων πάντ' ἀληθεύειν φιλεῖ. Εὐ.*

A. 6. Sogar viele Compoſita deren erſter Theil ein Nomen iſt nehmen häufig ihres Begriffes wegen einen Ac. zu ſich. *Τὰ δημόσια δὴ μισθοφοροῦντες χρήματα ἰδίᾳ σκοπεῖσθ' ἕκαστος ὅ, τι τις κερδανεῖ. Ἀρ. Τῶν φίλων τοὺς τρόπους οὐδέποθ' ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι. Γν. — Δημαγωγεῖ τοὺς ἄνδρας. Ξε. Πολῖται δορυφοροῦσιν ἀλλήλους ἄνευ μισθοῦ ἐπὶ τοὺς δούλους. Ξε. Τὸν ἑαυτοῦ πατέρα γηροτροφεῖ. Δη. — Σωφρόνως τὸν αὑτοῦ βίον οἰκονομεῖ. Ἰσ. Τὴν δημοκρατίαν Σόλων ἐνομοθέτησεν. Ἰσ. — Τοὺς φανερώτατα δεκάζοντας στρατηγοὺς χειροτονοῦμεν. Ἰσ. Οὗτος καὶ τοὺς οὐδὲν ἠδικηκότας τολμᾷ συκοφαντεῖν. Ἰσ. Μὴ μιμεῖσθε ἄνδρας κακηγοροῦντάς τε καὶ κωμῳδοῦντας ἀλλήλους καὶ αἰσχρολογοῦντας. Πλ. — Συμφορὰς τὰς μὲν τῶν ἄλλων πυνθάνονται, τὰς δ' αὐτοὶ λογοποιοῦσιν. Αν. Ἐλαφρὸν παραινεῖν νουθετεῖν τε τοὺς κακῶς πράσσοντας. Αἰσχ. Ἡ πόλις δασμολογεῖ τοὺς Ἕλληνας. Ἰσ. Ἄγις τὰ τῶν ξυμμάχων ἠργυρόλογησεν ἐς τὸ ναυτικόν. Θ. — Πολυπραγμονεῖν τἀλλότρια μὴ βούλου κακά. Γν. Τὰ χείρω φιλονεικεῖτε. Θ.*

A. 7. In solchen Zusammensetzungen ist der Begriff des ersten Theiles oft fast erloschen; und daher einerseits Ausdrücke wie *οἰκοδομεῖν τεῖχος, πύργον*, andrerseits *οἰκοδομεῖν οἰκίαν, ὁδοποιεῖν ὁδόν* u. a. vgl. Kr. zu Xen. An. 4, 7, 22.

A. 8. Viele mit Präpositionen zusammengesetzte Intransitiva, wie *ἱστασθαι* und die Verba des Gehens u. a., haben einen Ac., entweder wegen der Präposition oder wegen der erhaltenen Bedeutung. *Τὸν τῆς Λήθης ποταμὸν εὖ διαβησόμεθα. Πλ. Οἱ βάρβαροι διῆλθον ἅπασαν τὴν χώραν. Πλ. Λεῖ τὸν βέλτιστον τῶν λόγων λαβόντα διαπλεῦσαι τὸν βίον. Πλ. Πάντες τὰς Ἀθήνας ἢ παραπλέουσιν ἢ παρέρχονται. Ξε. Τῷ Πέρσῃ πᾶσαν γῆν περιέρχονται μαστεύοντες τί ἂν ἡδέως πίοι. Ξε. Ὁ Κῦρος περιίσταται τὸν λόφον τῷ παρόντι στρατεύματι. Ξε. Ἐκλογίζεσθε ἅπαν τὸ περιεστὸς ἡμᾶς δεινόν. Θ. Ἐχυρὰ τὰ μὲν παρῄει, τὰ δὲ ὑπερέβαινεν. Ξε. Ὑπερέβαλον τὰ ορη. Ξε.*

Τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν κοινῇ σὺν τοῖς φίλοις διέρχομαι. Ξε. Ὅταν οἱ ἄνδρες ἐκβῶσι τὴν ἡλικίαν, ἀφήσομέν που αὐτοὺς ἐλευθέρους. Πλ. Λίκην διδόασιν οἱ παραβαίνοντες τοὺς νόμους. Ξε. Οὐχ ὅσα ἄν τις ὑπερβῇ τῷ λόγῳ καὶ τὰ πράγματα ὑπερβήσεται. Λη. Ὑπερβάλλον τὸν καιρὸν οὐδὲν τῶν πάντων ἡδύ. Ξε. Κύπρις τὸν εἴκοντ' ἡσυχῇ μετέρχεται. Εὐ. Ἐν τῇ Σπάρτῃ οἱ κράτιστοι μάλισια ὑπέρχονται τὰς ἀρχάς. Ξε. Τοὺς ἐπαίνου ἐραστὰς ἀνάγκη πάντα μὲν πόνον πάντα δὲ κίνδυνον ἡδέως ὑποδύεσθαι. Ξε. Εὐαγόρας τὴν ἀρχὴν πάλιν ἀνέλαβεν ὑποστὰς τοὺς μεγίστους κινδύνους. Ἰσ. (Χρεῶν ξυμφοραῖς ταῖς μεγίσταις ἐθέλειν ὑφίστασθαι. Θ.) Οἱ πρόγονοι ὑπὲρ δόξης οὐδένα πώποτε κίνδυνον ἐξέστησαν. Λη. Τῷ ἐρῶντι ὀμνύντι μόνῳ συγγνώμη παρὰ θεῶν ἐκβάντι τὸν ὅρκον. Πλ.

III. Transitiver Accusativ.

7. Den transitiven Accusativ erfordern viele Verba welche bedeuten wohl oder übel gegen Jemand handeln oder reden; nützen, schaden, vergelten, sich vertheidigen. *Τοὺς ἀγαθοὺς εὖ ποιει. Ἰσ. Ῥᾴον ἐστι κακῶς ποιεῖν ἀνθρώπους ἢ εὖ. Πλ. Τοὺς ζῶντας εὖ δρᾷ. Εὐ. Ἀξιῶ μὴ τοὺς ἐναντίους οὕτω κακῶς δρᾶν ὥστε αὐτὸς τὰ πλείω βλάπτεσθαι. Θ. — Ἐν τοῖς κακοῖσι τοὺς φίλους εὐεργέτει. Μέ. Οἱ Μυσοὶ καὶ Πισίδαι κακουργοῦσι (κακοποιοῦσι) τὴν βασιλέως χώραν. Ξε. Τὰς ψυχὰς ὠφελεῖτε διδάσκοντες. Ξε. Βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών. Μέ. Οἱ τύραννοι ἱκανώτατοί εἰσι κακῶσαι μὲν ἐχθρούς, ὀνῆσαι δὲ τοὺς φίλους. Ξε. Οἱ σοφισταὶ λωβῶνται τοὺς νέους. Πλ. [Πολλὰ τῶν σῶν σινόμεθα ἄκοντες. Ξε.] Ἠδικήσαμεν οὐδένα. Θ. Οἱ Λακεδαιμόνιοι ὕβριζον τὰς νήσους. Ἰσ. Οὐκ ἂν ἱκανὸς οἶμαι εἶναι οὔτ' ἂν φίλον ὠφελῆσαι οὔτ' ἂν ἐχθρὸν ἀλέξασθαι. Ξε. Ἐχθροὺς ἀμύνου μὴ πὶ τῇ σαυτοῦ βλάβῃ. Μέ. Γενναῖόν ἐστι τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι. Θ. [Τίσασθε*

τήνδε· καὶ γὰρ ἐνταυθοῖ νοσεῖ τὰ τῶν γυναικῶν. Εὐ. Λόγοις ἀμείβου τὸν λόγοις πείθονιά σε. Μέ.]

Ἐπίσταμαι καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα καὶ εὖ λέγειν τὸν εὖ λέγοντα. Ξε. Εὐλογῆσαι βουλόμεθα τοὺς πατέρας ἡμῶν. Ἀρ. Τὸν τεθνηκότα μὴ κακολόγει. Χιλ. Μηδένα κακηγορείτω μηδείς. Πλ. Οὐ δίκαιον διὰ τοὺς ἀποκτείνοντας οὓς οὐ δεῖ τὴν ἀνδρίαν λοιδορεῖν. Ἰσ.

A. 1. Ὠφελεῖν mit dem Da. ist poetisch [seit Aristot. auch sonst vorkommend]. Τοὺς φίλους ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν. Εὐ.

A. 2. Gewöhnlich mit dem Ac. steht λυμαίνεσθαι verletzen, verderben (syn. κακουργεῖν Xen. Cyr. 6, 3, 24, ἀπολλύναι Isokr. 12, 219), doch auch mit dem Dativ in sofern nachtheilige Einwirkung zu bezeichnen ist. Eben so heißt ἐνοχλεῖν τινα quälen, τινί belästigen, chicaniren. Ψευδὴς διαβολὴ τὸν βίον λυμαίνεται. Μέ. Ῥήτωρ πονηρὸς τοὺς νόμους λυμαίνεται. Γν. Τούτῳ τἀδ' ἄλλα Βάκχιος λυμαίνεται. Εὐ. Ἡ τῶν στρατηγῶν φαυλότης ἐλυμήνατο τοῖς ὅλοις. Δη. — Ἐάν τι ἐνοχλῇ ἡμᾶς δεόμεθα τοῦ παύσοντος. Ξε. Οἱ Ἀθηναῖοι δεινοὶ ἦσαν ἐνοχλεῖν τοῖς ἄρχειν βουλομένοις. Δη. Τί ἂν ἐγὼ ταῦτα διηγούμενος ἢ ὑμῖν πράγματα παρέχοιμι ἢ ἐμαυτῷ ἐνοχλοίην; Δη.

A. 3. Λοιδορεῖν findet sich nur mit dem Ac., weil es bloß die Herabsetzung des Objects, λοιδορεῖσθαι nur mit dem Dativ, weil es das gehässige, feindseelige Streben des Subjects bezeichnet. Aehnlich hat μέμφεσθαι schlecht machen, tadeln, so wie wohl immer δια- und καταμέμφεσθαι, den Ac. (syn. φαυλίζειν und ψέγειν Xen. Mem. 4, 4, 14, Gegensatz ἐπαινεῖν Dek. 11, 23. 24), μ. Vorwürfe machen (syn. ἐπιτιμᾶν Plat. Rep. 405, e) den Dativ meist eines persönlichen Objects. Λοιδορεῖ τοῦτο, τὸ δ' ἕτερον ἐπαινεῖ. Πλ. Δεσπότας οὐ λοιδορῶ. Εὐ. Γυναῖκα μιμεῖται ἀνδρὶ λοιδορουμένην. Ξε. — Οὐδ' ἂν ὁ Μῶμος τό γε τοιοῦτον μέμψαιτο. Πλ. Οὐ τοῖς ἄρχειν βουλομένοις μέμφομαι, ἀλλὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις οὖσιν. Θ.

8. Von Verben die ein Streben bezeichnen erfordern den transitiven Ac. θηρᾶν und θηρεύειν, διώκειν und φθάνειν, μιμεῖσθαι und ζηλοῦν. Χρὴ τὸ πλείστου ἄξιον θήρευμα, φίλους θηρᾶν. Ξε. Πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά. Σο. Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης. Ἰσ. Ἡ ῥητορικὴ τῷ ἀεὶ ἡδίστῳ θηρεύεται τὴν ἄνοιαν καὶ ἐξαπατᾷ. Πλ. Ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ. Γν. Ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν ἐπῃνεῖτο. Θ. Μιμοῦ τα σεμνά, μὴ μιμοῦ κακοὺς τρόπους. Μέ. ζηλοῦ τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα. Μέ.

9. Aehnlich steht der Ac. bei μένειν und φεύγειν, ἀπο-, (δια-) ἐκδιδράσκειν und δραπετεύειν, εὐλαβεῖσθαι, κρύπτειν (κρύπτεσθαι) und λανθάνειν τινά, καρτερεῖν τι und ἐπιλείπειν τινά deficere, ausgehen. Ueber φυλάττεσθαι, ἀμύνεσθαι und τιμωρεῖσθαι § 52, 10 A. 7. Οὐδ' ἂν οἱ πάντες σφεν-

δονῆται μείνειαν πάνυ ὀλίγους ὀμόσε ἰόντας σὺν ὅπλοις ἀγχεμάχοις. Ξε. Πέπονθεν οἷα καὶ σὲ καὶ πάντας μένει. Εὐ. Φεῦγ' ἡδονὴν φέρουσαν ὕστερον βλάβην. Ἄλεξις. Βουλεύομαί γε πῶς σε ἀποδρῶ. Ξε. Τὴν δραπέτιν τύχην δραπέτευε. Ἰσ. Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον. Ἰσ. Κἂν σφόδρα σαφ' εἰδῇς, τὸν κρύπτοντά σε μηδέποτ' ἐλέγξῃς. Σο. Πάντα δόκει ποιεῖν ὡς μηδένα λήσων. Ἰσ. Ἡ ἀκρασία οὐκ ἐᾷ καρτερεῖν οὔτε λιμὸν οὔτε δίψος. Ξε. Οἱ πολλοί, ἐπειδὰν αὐτοὺς ἐπιλίπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθίστανται. Θ.

10. Von Verben der Affecte die den Ac. bei sich haben sind besonders zu merken αἰδεῖσθαι und αἰσχύνεσθαί τινα sich vor Jemand schämen, und θαρρεῖν τι, τινά auf etwas, Jemand vertrauen, rechnen, als Gegensatz zu φοβεῖσθαι. Μετὰ θεοὺς καὶ ἀνθρώπων τὸ πᾶν γένος τὸ ἐπιγιγνόμενον αἰδεῖσθε. Ξε. Ὅστις αὐτὸς αὑτὸν οὐκ αἰσχύνεται, πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται; Γν. Τὸ βραδὺ καὶ μέλλον μὴ αἰσχύνεσθε. Θ. Τὸ τοιοῦτον σῶμα οἱ μὲν ἐχθροὶ θαρροῦσιν, οἱ δὲ φίλοι φοβοῦνται. Πλ.

A. 1. Analog haben, weil sie den Begriff der Furcht enthalten, auch ἐκ- und καταπλήσσεσθαι den Ac., wiewohl sie, eig. Passiva, als solche auch mit dem Dativ oder ὑπό und dem Genitiv vorkommen. Εἰ τῷ καὶ πιστά, τὴν τόλμαν αὐτῶν καὶ δύναμιν μὴ ἐκπλαγῇ. Θ. Ταῖς κατ' οἶκον κακοπραγίαις ἐκπεπληγμένοι τοῦ κοινοῦ τῆς σωτηρίας ἀφίεσθε. Θ. Τὴν δύναμιν τῶν Ἀθηναίων μὴ καταπλαγῆτε. Θ. Τῷ ἀδοκήτῳ μᾶλλον ἂν καταπλαγεῖεν ἢ τῇ ἀπὸ τοῦ ἀληθοῦς δυνάμει. Θ.

[A. 2. Aehnlich findet sich mit dem Ac. sogar die Redensart τεθνάναι τινά, τί, Jemand wie den Tod fürchten Dem. 4, 45. 19, 81, Arr. An. 7, 9, 4, und bloß τεθνάναι Aristid. π. τῶν τεττάρων p. 157 (261) wie ἐγκεχόδασί μ' οἱ πλούσιοι Ar. Wesp. 627.]

IV. Zwei Accusative bei Einem Verbum.

11. Häufiger als in andern Sprachen erscheinen im Griechischen zwei Accusative bei Einem Verbum. So neben dem transitiven der Ac. des Inhaltes R. 5. 6. Οὐδένα πώποτε γραφὴν ἐγραψάμην. Αἰ. Ὁ πόλεμος ἀείμνηστον παιδείαν αὐτοὺς ἐπαίδευσεν. Αἰ. Οὐ χρὴ μιμήσεις πονηρὰς μιμεῖσθαι τοὺς πολεμίους. Πλ. — ὤρκωσαν πάντας τοὺς μεγίστους ὅρκους. Θ. Ἐμὲ ὁ πατὴρ τὴν τῶν παίδων παιδείαν γλίσχρως ἔτρεφεν. Ξε. Τὸν ἄνδρα ὁμολογεῖ τύπτειν τὰς πληγάς. Ἀντ. Κηφισοφῶντα γραφὴν ἱερῶν χρημάτων ἐδίωκες. Αη. (Ἠμφεσβήτει τῆς ἀρχῆς ἣν ὑμεῖς ἐμὲ ἐπεχειροτονήσατε. Αη.)

A. 1. In manchen Verbindungen ist für den Ac. des Inhalts der Dativ angemessener und üblicher. So findet sich zwar τὴν μάχην τοὺς

βαρβάρους ἐνίκησεν Aesch. 3, 181 (vgl. 222) u. Isokr. 8, 58, (härter Thuk. 1, 32: τὴν ναυμαχίαν ἀπεωσάμεθα Κορινθίους), erst bei Spätern häufiger; allein bei weitem vorherrschend ist μάχῃ oder ἐν μάχῃ νικᾶν τινα. Vgl. 5 A. 3. 6 A. 1. Πᾶς τιμάτω πάσαις τιμαῖς ταῖς ξννόμοις τοὺς αὑτοῦ γεννήτορας. Πλ.

A. 2. Dagegen erscheint von einem substantivirten Adjectiv oder Pronominaladjectiv auch hier regelmäßig der Ac. Vgl. 5 A. 4. 9. Σωκράτης τὰ μέγιστα πάντας τοὺς βουλομένους ὠφέλει. Ξε. Πολλὰ ἄν τις ἔχοι Σωκράτην ἐπαινέσαι καὶ θαυμάσια. Πλ. Τοὺς ἔνδον ἄντικρυς ψευδῆ διαβάλλει. Ἀρ. Πάντα ἔψευσμαι αὐτόν. Ξε. Οὐδεὶς τοῦτο αὐτὸς ἑαυτὸν πείθει. Ξε. Κἄμ' ἀναγκάζεις τάδε. Σο. Ταῦτ' ἔστιν ἃ ἐγὼ Σωκράτην ἐπαινῶ. Πλ. Τοὺς ἀσθενοῦντας οἷα ὑβρίζει τί δεῖ λέγειν; Ξε. Οἱ γονεῖς ἐμὲ πολλὰ κωλύουσιν. Πλ.

12. Aehnlich erscheinen zwei Ac. bei Verben die bezeichnen Jemanden etwas zufügen oder von ihm aussagen. Ἡ γῆ τοὺς ἄριστα θεραπεύοντας αὐτὴν πλεῖστα ἀγαθὰ ἀντιποιεῖ. Ξε. Ὁ πολλὰ κακὰ δρῶν τοὺς ἄλλους καὶ πάσχει αὐτὸς πολλὰ ἕτερα. Πλ. Οἱ πονηροὶ ἀεί τι κακὸν ἐργάζονται τοὺς ἐγγυτάτω ἑαυτῶν ὄντας. Πλ. — Ταυτί με ποιοῦσιν. Ἀρ. Τί μ' εἰργάσω; Ἀρ. Ὅσα πώποτέ τινα ἠδικήσατε, ὑπὲρ ἁπάντων δίκην δώσετε. Πλ.

Ἡδονή τις γυναιξὶ μηδὲν ὑγιὲς ἀλλήλας λέγειν. Εὐ. Καίτοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ' ἀγορεύει. Ἀρ. Ὁ δ' ἕτερα πλεῖστα τὰς γυναῖκας εὐλογεῖ. Ἀρ. — Ταυτὶ σὺ τολμᾷς πτωχὸς ὢν ἡμᾶς λέγειν; Ἀρ. Οὐ φροντιστέον ὅ, τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς. Πλ. Ὦ βέλτιστε, εἰ οἷόν τέ σε τοῦ τ' εἰπεῖν, οὐ παύσῃ; Δη.

A. 1. Wie εὖ, κακῶς πάσχειν zu εὖ, κακῶς ποιεῖν, so ist in Bezug auf den Gebrauch 7 und 12 ἀκούειν [poetisch κλύειν] zu λέγειν das Passiv. Οὐ πάσχοντες εὖ, ἀλλα δρῶντες κτώμεθα τοὺς φίλους. Θ. Ἐκεῖνοι μεγάλα εὖ παθόντες οὐδέν' ἐτίμησαν. Δη. — Κακῶς λέγειν τὸν δῆμον οὐκ ἐῶσιν, ἵνα μὴ αὐτοὶ ἀκούωσι κακά. Ξε. Αἱ γυναῖκες καὶ πολλὰ καὶ παντοῖ' ἀκούουσιν κακά. Ἀρ. Οἱ ἀρχόμενοι ἐπιθυμοῦσι τοῦ καλόν τι ἀκούειν. Ξε. Νῦν κόλακες ἀκούουσιν. Δη. [Βουλήσεται κλύειν ἄναλκις μᾶλλον ἢ μιαίφονος. Αἰσχ.]

[A. 2. Fast ungebräuchlich ist πράτιειν τινά τι in diesem Sinne (Eur. Hel. 1393), so wie εὖ, κακῶς πράτιειν (Ar. Ekkl. 108), ἐργάζεσθαί τινα.]

A. 3. Dagegen erscheint bei πράττειν und ἐργάζεσθαι, wie auch bei ποιεῖν, neben dem Ac. ein Dativ, in sofern das Object nicht als erleidend (Ac.), sondern als betheiligt vorgestellt wird. Ἐβούλοντο ἀγαθόν τι πρᾶξαι τῇ πόλει. Λυ. Πολλοῖς αὖτ' εἰργάσω. Ἀρ. Τεθνάναι μυριάκις κρεῖττον ἢ κολακείᾳ τι ποιεῖν Φιλίππῳ. Δη. Ὡς πολλὰ θνητοῖς ἡ σχολὴ ποιεῖ κακά. Γν.

13. Eben so findet sich bei den Verben des Nennens neben dem transitiven Ac. noch ὄνομα oder ein substanti-

virtes Pronominaladjectiv (τί wie? ꝛc.). Ὄνομα ποῖον αὐτὸν ὀνομάζει πατήρ; Εὐ. Καλοῦσί με τοῦτο τὸ ὄνομα. Ξε. Τί τὴν πόλιν προσαγορεύεις; εὔβουλον, ἔφη. Πλ. Ἀνδρὶ ἦν ὄνομα Σοῦς. τὴν γὰρ ταχεῖαν ὁρμὴν τοῦτο καλοῦσιν. Πλ.

A. Adjectivisch steht das Pronominaladjectiv in sofern es sich auf eine generische oder eigenschaftliche Benennung bezieht. Τίνα Γοργίαν καλεῖν χρὴ ἡμᾶς; ῥήτορα. Πλ. Πάντας ἐγὼ τοὺς φιλοσόφους τοιούτους (θείους) προσαγορεύω. Πλ.

14. Wie dort ὄνομα, so erscheinen bei den Verben des Theilens neben dem transitiven Ac. μέρη δύο, τρία ꝛc. λήξεις u. a. Ἅπαντα νεῖμαι κελεύω μέρη εἴκοσιν. Λη. Κατενείμαντο τὴν γῆν πᾶσαν ἔνθα μὲν μείζους λήξεις, ἔνθα δὲ καὶ ἐλάττους. Πλ. Τῶν συμμοριῶν ἑκάστην διελεῖν κελεύω πέντε μέρη. Λη. Τὰς ἀρχὰς πάσας δώδεκα μέρη διείλοντο. Πλ. Τὰ δώδεκα μέρη τέμνειν τὴν πόλιν δεῖ. Πλ.

A. Daneben setzen auch attische Schriftsteller zu μέρη nicht selten εἰς oder das distributive κατά.

15. Manche Verba gestatten neben einem Ac. der Person einen Ac. der Sache, wie die des An- und Ausziehens; αἰτεῖν (αἰτεῖσθαι) fordern, (εἰς)πράττειν und πράττεσθαι einfordern, eintreiben, ἐρωτᾶν und ἐρέσθαι fragen, κρύπτειν verhehlen und διδάσκειν lehren, mit ihren Compositen. Ueber die Verba des Beraubens § 47, 13 A. 10. 11. Παῖς μέγας μικρὸν ἔχων χιτῶνα ἕτερον παῖδα μικρὸν μέγαν ἔχοντα χιτῶνα ἐκδύσας αὐτὸν τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε, τὸν δ' ἐκείνου αὐτὸς ἐνέδυ. Ξε. Μέλλετε τοὺς θεοὺς αἰτεῖν τἀγαθά. Αἰ. Οἱ Ἀθηναῖοι τοὺς νησιώτας καθ' ἕκαστον ἐνιαυτὸν ἑξήκοντα τάλαντα εἰσέπραττον σύνταξιν. Αἰ. Σωκράτης τοὺς ἑαυτοῦ ἐπιθυμοῦντας οὐκ ἐπράττετο χρήματα. Ξε. Ἀνήρεθ' ἡμᾶς τοὺς ἐν Ἰλίῳ πόνους. Εὐ. Μήτοι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν. Αἰσχ. Ὁ χρόνος καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα (ἐκ)διδάσκει τοὺς ἀνθρώπους. Ἀντ.

A. Daneben findet sich auch αἰτεῖν, εἰσπράττειν und εἰσπράττεσθαί τι παρά τινος, meist nur αἰτεῖσθαί τι παρά τινος.

§. 47. Genitiv.

I. Unabhängige Genitive.

1. Der Genitiv, scheint es, bezeichnet ursprünglich räumlich das Worin. Dafür sprechen besonders die Fälle in denen er selbstständig erscheint und die Adverbialformen αὐτοῦ, ποῦ ꝛc.

(A. Hieher gehört das bei Verben der Bewegung (am häufigsten bei Her. vorkommende) *τῆς ὁδοῦ* (ähnlich unserm: geh deiner Wege) und das wohl gleichartige *τοῦ πρόσω* vorwärts, weiter. *Ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ. Ἀρ. Ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προϊόντας. Θ. Ῥαδίως προελάμβανον τῆς ὁδοῦ. Θ. Ἐπορεύοντο τοῦ πρόσω. Ξε.*)

2. Auf die Zeit übertragen steht der Ge. vorzugsweise von natürlichen Zeitabtheilungen in deren Bereich die Handlung gesetzt wird. *Θάρσει γύναι· τὰ πολλὰ τῶν δεινῶν, ὅναρ πνεύσαντα νυκτός, ἡμέρας μαλάσσεται. Σο. Ταῦτα τῆς ἡμέρας ἐγένετο. Ξε. Οἱ λαγῷ τῆς νυκτὸς νέμονται. Ξε. Ἡ οἰκία χειμῶνος μὲν εὐήλιός ἐστι, τοῦ δὲ θέρους εὔσκιος. Ξε. Ποίου μηνὸς καὶ ἐν τίνι ἡμέρᾳ ἐχειροτονήθη Δημοσθένης; Αἰ.*

A. 1. So stehen noch, mehrentheils ohne Artikel, wenn nicht das Hinzutreten einer adjectivischen Bestimmung ihn veranlaßt, (*τοῦ*) *ὄρθρου, τῆς μεσημβρίας*, (*τῆς*) *δείλης*, (*τὴς*) *ἑσπέρας, ἦρος, ὀπώρας, Ποσειδεῶνος μηνός, ἐαρινῆς πυλαίας* (Dem. 18, 154. 155) und selbst *αἰθρίας* (Ar. Wolken 371) wie *ἀπηλιώτου ἢ βορέου* (Thuc. 3, 23) und *γαλήνης* (Plut. v. Cor. 11).

A. 2. Mit dem Artikel verbunden bezeichnet der Ge. einer solchen Zeitangabe, in sofern sie als Zeitmaaß genommen wird, den Belauf eines jeden Jahres, Monates ꝛc., also jährlich, monatlich ꝛc. (auch ohne *ἑκάστου*). *Μαγνησία προσφέρει πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ. Θ. Ὁ ὁπλίτης δραχμὴν ἐλάμβανε τῆς ἡμέρας. Θ.*

A. 3. Eben so bezeichnet ein solcher Ge. mit Cardinalzahlen und numerischen Adjectiven verbunden den Zeitbetrag (im Verlauf); auf die Vergangenheit bezogen, gewöhnlich unser seit; auf die Gegenwart und Zukunft, binnen, innerhalb. Hieher gehört auch *τοῦ λοιποῦ* vgl. § 46, 3 A. 2. *Οὐδείς με ἠρώτηκε καινὸν οὐδὲν πολλῶν ἐτῶν. Πλ. — Εἰς τὸ αὐτὸ ὅθεν ἥκει ψυχὴ ἑκάστη οὐκ ἀφικνεῖται ἐτῶν μυρίων. Πλ. Ἐπιμενίδης εἶπεν ὅτι Πέρσαι οὐχ ἥξουσι δέκα ἐτῶν. Πλ. Οἱ Λακεδαιμόνιοι ᾤοντο ὀλίγων ἐτῶν καθαιρήσειν τὴν τῶν Ἀθηναίων δύναμιν. Θ. — Ἡ ἐν Μαντινείᾳ μάχη ἐγένετο πλείστου δὴ χρόνου μεγίστη τῶν Ἑλληνικῶν. Θ. Ὀλίγου χρόνου πειράσεται τὰ χρήματα ἀποδοῦναι. Ἰσ. [Πόσου χρόνου ξυνήγαγεν. Ἀρ.] (Ἀμύντας ἐντὸς τριῶν μηνῶν κατέσχεν ἅπασαν Μακεδονίαν. Ἰσ.)*

A. 4. Von adjectivischen Begriffen anderer Art erscheinen mit dem temporalen Ge. verbunden am gewöhnlichsten zeitbestimmende Participien, wie *τοῦ ἐπιγιγνομένου θέρους, χειμῶνος, τῆς ἐπιούσης ἡμέρας, νυκτός* ꝛc., neben *τῇ ἐπιούσῃ ἡμέρᾳ, νυκτί* ꝛc.; ferner *τοῦ αὐτοῦ θέρους, τῆς αὐτῆς* und *ἑκάστης ἡμέρας, τῆς ἡμέρας ὅλης*, während sonst außer dem Falle A. 3 der Da. fast ausschließlich üblich ist in Verbindung mit Cardinal- und Ordinalzahlen, so wie bei *ὅδε, οὗτος, ἐκεῖνος*. Vgl. § 48, 2 A. 3. *Τῆς ἐπιούσης νυκτὸς ἀνηγάγοντο καὶ τῇ ἄλλῃ ἡμέρᾳ περὶ ἀρίστου ὥραν ἦκον εἰς Προικόννησον. Ξε.* [*Ταύτης τῆς νυκτός* Plat. Krit. p. 44 vgl. Isä. 1, 14.]

3. Eben so bezeichnet der Ge. auch in Bezug auf andere Objecte in weitester Bedeutung daß etwas in die Sphäre, den Bereich seines Begriffes gehöre.

(A. 1. So steht er absolut als Ausruf, diesem die vorliegende Sache aneignend, d. h. ihn auf dieselbe beziehend. *Τίς εἶδε πώποτε βοῦς χριβανίτας; τῶν ἀλαζονευμάτων. Ἀρ. Ὦ Ζεῦ βασιλεῦ τῆς λεπτότητος τῶν φρενῶν. Ἀρ. Ὦ Πόσειδον δεινῶν λόγων. Πλ.*)

(A. 2. Eben so findet sich ein Ge. des Ausrufes bei Interjectionen und Adjectiven. Vgl. § 47, 21. *Φεῦ τοῦ ἀνδρός. Ξε. — Τάλας ἐγὼ τῆς ἐν μάχῃ ξυμβολῆς βαρείας. Ἀρ. Ὦ μακάριοι σφὼ τῆς θαυμαστῆς φύσεως. Πλ.*)

(A. 3. Aehnlich findet sich der Ge. absolut auf den folgenden Satz bezogen: was anbetrifft. So besonders bei Gegensätzen. *Ἵππος ἢν κακουργῇ, τὸν ἱππέα κακίζομεν· τῆς δὲ γυναικός, εἰ κακοποιεῖ, ἴσως δικαίως ἂν ἡ γυνὴ τὴν αἰτίαν ἔχοι. Ξε. Δῆλον δὴ τοῦτό γε. τί δὲ τοῦ ἀδικεῖν, πότερον ἐὰν μὴ βούληται ἀδικεῖν, ἱκανὸν τοῦτ' ἔστιν; Πλ.*)

4. Auch bei dem vorzugsweise sog. absoluten Ge., der dem absoluten Ablativ der Lateiner entspricht, wird der Hauptsatz diesem angeeignet, d. h. in Bezug auf den Bereich desselben vorgestellt. *Ὄντος ψεύδους ἔστιν ἀπάτη. Πλ. Θεοῦ διδόντος οὐδὲν ἰσχύει φθόνος, καὶ μὴ διδόντος οὐδὲν ἰσχύει πόνος. Γν. Πολλῶν φύσει τοῖς πᾶσιν ἀνθρώποις κακῶν ὄντων μέγιστόν ἐστιν ἡ λύπη κακόν. Μέ.*

A. 1. Wenn der absolute Ge. temporal ist, so trifft er in manchen Fällen so sehr mit R. 2 zusammen, daß *ὄντος* oder ein ähnliches Particip bald gesetzt bald ausgelassen wird. *Σκότους καὶ νυκτὸς τὸ πρᾶγμα ἐγένετο. Δη. Ἑσπέρας οὔσης καὶ σκότους ἔρχεται Μειδίας. Δη. Ἐβοήθουν ἡμέρας ἤδη. Θ. Γεγενημένης ἡμέρας ἤδη κήρυγμα ἐποιήσατο. Θ.*

A. 2. Der absolute Ge. ist auch statthaft wo sich das Particip (ohne eigenes Subject) einem (gesetzten oder zu denkenden) Nomen des Hauptsatzes anschließen könnte, wenn der Gedanke nicht bloß als Prädicat eines Begriffes sondern als selbstständige Vorstellung erscheinen soll. Am häufigsten steht er so für den Dativ. *Βοηθησάντων ὑμῶν προθύμως πόλιν προσλήψεσθε. Θ. Μαχομένων αὐτῶν καὶ ἀπορουμένων θεῶν τις αὐτοῖς μηχανὴν σωτηρίας δίδωσιν. Ξε. Προσέμιξαν τῷ τείχει λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν οὐ προϊδόντων αὐτῶν. Θ.*

A. 3. Oft findet sich der (abs.) Ge. des Particips ohne Subject, indem als solches der Ge. eines persönlichen Pronomens oder das Demonstrativ zu ergänzen ist; oder auch ein allgemeiner Begriff von Personen oder von Dingen als Subject vorschwebt. *Ἐρώτα ὡς ἀποκρινομένου* (sc. ἐμοῦ). *Πλ. Εἶπον ἐρωτήσαντος* (sc. *αὐτοῦ*) *ὅτι Μάκρωνές εἰσιν. Ξε. Πολλοὶ οὕτω πρός τινας ἔχουσιν ὥστε εὐτυχούντων λυπεῖσθαι. Ξε. — Οὐχ οἷόν τε μὴ καλῶς ὑποδεικνύντος* (sc. *τινός*) *καλῶς μιμεῖσθαι. Ἀρλ. Πορευομένων* (sc. *ἀνθρώπων, στρατιωτῶν*) *ἀταξίᾳ οἱ μὲν προέρχονται, οἱ δὲ ὑπολείπονται πλέον τοῦ καιροῦ. Ξε. — Σὺν θεῷ πραττομένων* (sc. *πραγμάτων*) *εἰκὸς καὶ τὰς πράξεις προϊέναι ἐπὶ τὸ λῷον. Ξε.*

A. 4. So steht ohne Subject der absolute Ge. von Ausdrücken wie ὗει es (eig. er, der Gott) regnet, ὄντος während, da es regnet vgl. § 61, 4 A. 4; οὕτως ἔχει es verhält sich so, οὕτως ἔχοντος da, wenn es sich so verhält; desgleichen von unpersönlich stehenden Passiven und der 43, 4 A. 13 erwähnten Ausdrucksweise. Vgl. § 56, 9 A. 6—8. Ὄντος εἴσει. Ἀρ. Συσκοτάζοντος ἐλθόντες κόπτομεν τὴν θύραν. Λυ. Οὕτως ἔχοντος δοκεῖ ἄν τις σοι ἑκὼν αὐτὸν χείρω ποιεῖν; Πλ. Ἐξαγγελθέντος εὑρίσκουσι τοῦτον. Αἰ. Ὅταν ἀδήλου ὄντος εἰ πολεμίοις ἐντεύξῃ πορεύῃ που, κατὰ μέρη χρὴ τὰς φυλὰς ἀναπαύειν. Ξε.

A. 5. In gleicher Weise findet sich auch der Plural, erklärlich aus § 43, 4 A. 13 vgl. mit § 44, 4; jedoch nicht ὄντων, συσκοταζόντων. Οὕτως ἐχόντων εἰκὸς τοῖς πολεμίοις ἐναντίους εἶναι τοὺς θεούς. Ξε. Αἱ πόλεις ᾠκίσθησαν ἤδη πλοϊμωτέρων ὄντων. Θ. Ἔτι ὄντων ἀκρίτων διαλλαγῶμεν. Θ. Σημανθέντων τῷ Κύρῳ ὅτι πολέμιοί εἰσιν ἐν τῇ χώρᾳ ἐξεβοήθει. Ξε.

[A. 6. Ein absoluter Ge. mit zu ergänzendem ὄντος ist im Griechischen nicht üblich. Denn in Fällen wie Θεμιστοκλέους ἄρχοντος ist ἄρχοντος Particip. (Sonst auch ἐπὶ Θ. ἄρχοντος u. a.) Als Particip gelten auch ἑκών und ἄκων. Ἐξῆν σοι ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι. Πλ. Zweifelhaft ist ἑτοίμων Thuc. 3, 82, 1 und Xen. An. 7, 8, 11; poetisch ὑφηγητῆρος οὐδενός Soph. Oed. K. 1588 vgl. Oed. T. 966. 1260; ὡς ἐμοῦ μόνης πέλας DK. 83.]

II. Von einem Nomen abhängige Genitive.

5. Von einem Substantiv abhängig bezeichnet der Ge. zunächst den Begriff welchem das regierende Substantiv als Eigenthum angehört: possessiver Ge.

A. 1. Dem gemäß wird er mit Adjectiven oder Pronominaladjectiven die einen Besitz bezeichnen sowohl synonym als verbunden gebraucht. Τὸ μὲν ἀγαθὸν οἰκεῖον καλεῖ καὶ ἑαυτοῦ, τὸ δὲ κακὸν ἀλλότριον. Πλ. Ἕως ἂν ἐγὼ ζῶ ἐμὴ γίγνεται ἡ βασιλεία, ὅταν δ' ἐγὼ τελευτήσω Κύρου. Ξε. Δεῖ καὶ τὸ σαυτοῦ καὶ τοὐμὸν λογίσασθαι. Δη. — Μᾶλλον πεφόβημαι τὰς οἰκείας ἡμῶν ἁμαρτίας ἢ τὰς τῶν ἐναντίων διανοίας. Θ. Τὰς ἰδίας αὐτῶν προσόδους παραιρήσεται. Δη. Ἡμέτερα αὐτῶν ἔργα οὐδέτερος ἔχει λέγειν. Πλ. — Ἡ ὑμετέρα τῶν σοφιστῶν τέχνη ἐπιδέδωκεν. Πλ. Εἶδον τὴν ἀνδρίαν ἀναβαίνοντος ἐπὶ τὸν ὀκρίβαντα. Πλ.

A. 2. Da auch Kinder als der Aeltern, die Frau als des Mannes Eigenthum betrachtet wurde, so kann der Ge. von einem Eigennamen (mit dem Artikel) oder einem denselben vertretenden Artikel abhängig auch den Vater, die Mutter, die Gattin bezeichnen, wie der Plural des Artikels mit einem Ge. die Verwandten oder Untergebenen überhaupt: Ge. der Angehörigkeit. Der Ge. des Eigennamens erscheint dabei mehrentheils ohne Artikel. (Πρὸς τὸν Πυριλάμπους νεανίαν τοιαῦτα πέπονθας. Πλ.) Ὁ Δικαιογένης ὅδε τῷ Μενεξένου Δικαιογένει υἱὸς ἐγένετο ποιητός. Ἰσαῖ. Θουκυδίδης ὁ Ὀλόρου στρατηγὸς ἦν. Θ. [Ἤδη ποτ' εἶδον ἄνδρα γενναίου πατρὸς τὸ μηδὲν ὄντα, χρηστὰ δ' ἐκ κακῶν τέκνα. Εὐ.] Ἑλένη κατ' οἴκους ἐστὶ τούσδ' ἡ τοῦ Διός. Εὐ. —

Τὴν Σμικυθίωνος οὐχ ὁρᾷς Μελιστίχην; Ἀρ. (Τὸν τῆς στρατηγοῦ τοῦτον οὐ θαυμαζετε; Ἀρ.) — Πορεύομαι πρὸς τοὺς ἐμαυτοῦ. Σο. Ἡγοῦντο τῷ τοὺς αὑτοῦ καταισχύναντι ἀβίωτον εἶναι. Πλ. Μεγάλα ἂν ζημιοῖο, εἰ τοὺς σεαυτοῦ καταχαίνοις. Ξε. Εἶχε τὸ εὐώνυμον Κλέαρχος καὶ οἱ ἐκείνου. Ξε. Ἤλαυνεν ἐπὶ τοὺς Μένωνος. Ξε. [Vgl. Epigr. Thuc. 6, 59.]

(A. 3. Bei der Stellung *ὁ Μενεξένου Δικαιογένης* wird Unterscheidung von einem gleichnamigen D. beabsichtigt (vgl. Herod. 6, 40) oder *Δικαιογένης* ist appositiv zu nehmen. *Πελοποννήσου ὁ Ταντάλου Πέλοψ ἐκράτησεν. Ἰσ.*)

(A. 4. Bei der Stellung *Δικαιογένης ὁ Μενεξένου* wird D. ebenfalls von gleichnamigen unterschieden, dieser Name aber dann stärker als der Ge. hervorgehoben. Doch kann dieser Ausdruck auch den D. als einzigen oder berühmten Sohn des M. bezeichnen. — Mit doppeltem Artikel sagte man *ὁ Δ. ὁ Μενεξένου* in sofern der Name schon an sich einen bekannten oder berühmten Mann bezeichnet. Vgl § 50, 7 A. 9. — Ohne Artikel bezeichnet *Δ. Μενεξένου* bloß die Herkunft. Das ehemals bei dieser Ausdrucksweise ergänzte *υἱός* wird wie auch *παῖς* (z. B. Thuc. 6, 59), letzteres jedoch mehr von Dichtern, zuweilen hinzugefügt, insbesondere im Gegensatze zu andern Verwandten.)

A. 5. Aehnlich haben Ortsnamen, meist ohne Artikel, den Ge. des Landes (mit dem Artikel) oder des Volkes dem sie angehören: chorographischer Ge., bei hinzutretender Präposition nie eingeschoben. Auch der Ortsname steht nicht selten voran, wenn er nämlich Hauptbegriff ist. *Ὡρμίσαντο τῆς Χερσονήσου ἐν Ἐλαιοῦντι. Ξε. Ἔπλευσαν ἐς Ὠρωπὸν τῆς πέραν γῆς. Θ. Κορινθίων ἐπ' Ἀμβρακίαν ἐλήλυθε καὶ Λευκάδα. Δη. Τῆς Ἰταλίας λοκροὶ Συρακοσίων ἦσαν. Θ. Αἱρεῖ Οἰνεῶνα αὐτῶν. Θ. (Εἴργοντο τοῦ Πειραιῶς ἐν λιθοτομίαις. Ξε.)*

[A. 6. Daneben finden sich bei Thuc. einzelne Stellen wie *βραχύς ἐστιν ὁ διάπλους πρὸς τὸ Κήναιον τῆς Εὐβοίας* 3, 93 vgl. 1, 30. 4, 25, *τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ* Xen. Hell. 1, 6, 26.]

(A. 7. Eben so steht der chorographische Ge. von dem Namen eines Landestheiles abhängig. *Πόλις ὑπὲρ Χειμερίου κεῖται ἐν τῇ Ἐλαιάτιδι τῆς Θεσπρωτίας. Θ. Ἐσιράτευσαν τῆς Ἀρχαδίας ἐς Παρρασίους. Θ.*)

(A. 8. Der Ortsname kann auch den Ge. des Besitzers bei sich haben. *Ἐπορεύθη ἐς Πύδναν τὴν Ἀλεξάνδρου. Θ. Οἱ Λακεδαιμόνιοι τὴν Θηβαίων Καδμείαν κατέλαβον. Ἰσ. Καταλαμβάνει Ἴλιον αὐτῶν. Δη.*)

A. 9. Das Neutrum des Artikels (ohne Substantiv) mit einem Ge. verbunden ist eine Substantivirung die in sehr mannigfacher Bedeutung gebraucht wird, von Gütern, überhaupt Angehörigem, Interessen, Kräften ꝛc. meist im Plural. *Κοινὰ τὰ τῶν φίλων. Εὐ. Πάντα τἀνθρώπων ἴσα. Εὐ. Ἀλκιβιάδης πρὸς τὰ Μαντινέων ἐτράπετο. Θ. Ἀνάγκη τὰ τῶν Ἑλλήνων φρονεῖν. Δη. Τῶν αὐτοῦ τὰ δεσπόζοντα ἀεὶ προτιμητέον τῶν δουλευόντων. Πλ. — Τὸ τῆς φύσεως ἀνυπέρβλητόν ἐστι καὶ πολὺ πάντων διαφέρει. Πλ. Τὸ τῆς ἀνάγκης δεινόν. Εὐ.* Vgl. § 43, 4 A. 9 ff.

A. 10. Unbestimmter bezeichnet das substantivirte Neutrum des Artikels auch Einrichtungen, Zustände, Verhältnisse, Macht, Vorfälle, Geschäfte, Leistungen, Einwirkun-

gen, Gesinnungen, Aeußerungen. *Τὸ τῶν Ἐφόρων θαυμαστὸν ὡς τυραννικὸν γέγονεν. Πλ. Οὐκ ἐδόκει μόνιμον τὸ τῆς ὀλιγαρχίας ἔσεσθαι. Θ. Τὰ Κύρου οὕτως ἔχει πρὸς ἡμᾶς ὥσπερ τὰ ἡμέτερα πρὸς ἐκεῖνον. Ξε. Τὰ τῶν Συρακοσίων ἔφη ἥσσω τῶν σφετέρων εἶναι. Θ. Ἀνδοκίδης μηνύει τὸ τῶν Ἑρμῶν. Θ. Ἄδηλα τὰ τῶν πολέμων. Θ. Τὸ τῆς τέχνης περαίνοιτο ἂν καὶ διὰ σιγῆς. Πλ. Ἥδιστόν ἐστιν ἐν τῷ βίῳ τὸ τὰ αὑτοῦ πράττειν. Πλ. Τὰ φίλων οὐδέν, ἤν τις δυστυχῇ. Εὐ. Δεῖ φέρειν τὰ τῶν θεῶν. Εὐ. Τὸ τῆς τύχης ἀφανὲς οἱ προβήσεται. Εὐ. Καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει. Εὐ. Θέλων καλῶς ζῆν μὴ τὰ τῶν φαύλων φρόνει. Μέ. Ἐθέλει κατὰ τὸ τοῦ Σόλωνος καὶ ἀξιοῖ μανθάνειν ἕωσπερ ἂν ζῇ. Πλ.*

A. 11. Zuweilen bezeichnet diese Ausdrucksweise umschreibend den Begriff selbst mit allem was ihm angehört. *Μέγα ἐστὶ τὸ τῆς πίστεως, ὑπάρχον ὑμῖν. Δη. Τὰ τῆς ψυχῆς τῶν τοῦ σώματός ἐστι πρεσβύτερα. Πλ. Σμικρὰ μὲν τὰ τοῦ βίου· τοῦτον δ' ὅπως ἥδιστα διαπεράσετε. Εὐ.*

A. 12. Adjectivische (und verbale) Begriffe auf eine solche Umschreibung besonders persönlicher Begriffe bezogen richten sich im Genus und Numerus häufig nach diesen. *Τὰ τῶν διακόνων, τοὐμὸν ἐν σμικρῷ μέρει ποιούμενοι, τὸν οἶκαδ' ἥπειγον στόλον. Σο.*

(A. 13. Der possessive Ge. kann auch das dem Begriff Eigenthümliche oder Charakteristische bezeichnen. *Ἂν τὰ ἔργα ἀδελφοῦ ποιῇς, δόξεις εἶναι συγγενής. Δη. Εἰ τρεψόμεθα ἐπὶ τὴν τῶν κακῶν ἀνθρώπων ἡδυπάθειαν, ὀλίγου ἄξιοι ἐσόμεθα. Ξε. Ψυχὴ κόσμον ἔχουσα τὸν ἑαυτῆς ἀμείνων τῆς ἀκοσμήτου. Πλ.*)

6. Der possessive Ge. kann mit dem regierenden Worte durch ein Prädikatsverbum (*εἶναι, γίγνεσθαι* u. a., poet. *πεφυκέναι, φῦναι*) verbunden die Stelle des Prädikats einnehmen, wobei *ἐστίν* oder *εἰσίν* auch ausgelassen wird: prädicativer Ge.

A. 1. So zunächst wo das Subject selbst (ohne Artikel oder sonstige Bestimmung) wiederholt zu denken ist. *Σχολῆς τὸ δῶρον. Εὐ. Ὁ νόμος οὗτος Δράκοντός ἐστιν. Δη. Οἱ γυμνικοὶ ἀγῶνες τοῦ σώματός εἰσιν. Ξε. Τὸ μὲν ἀκούσιον ἁμάρτημα τῆς τύχης ἐστί, τὸ δὲ ἑκούσιον τῆς γνώμης. Ἀντ. Τοῦτο τοὔνομα (ὁ πατὴρ) εὐεργετοῦντός ἐστι μᾶλλον ἢ ἀφαιρουμένου. Ξε. Παγώνδας ἡγεμονίας οὔσης αὐτοῦ ἐβούλετο τὴν μάχην ποιῆσαι. Θ.*

[A. 2. Umgekehrt ist an manchen Stellen aus dem Prädicat ohne Artikel das Substantiv mit dem Artikel als Subject zu denken. *Βραχεῖα τέρψις ἡδονῆς κακῆς. Εὐ. Ἐπίφθονόν τι χρῆμα θηλειῶν ἔφυ. Εὐ. Μακάριόν τι λέγεις τυράννου χρῆμα. Πλ.* Vgl. Herm. zu So. Phil. 81.]

A. 3. In manchen andern Fällen kann man (das gesetzte oder ergänzte) *εἶναι* in der Bedeutung stattfinden nehmen. *Κόρος (πλησμονὴ) πάντων. Εὐ. Ἰσ. Σιωπῆς οὐδὲν ἔργον ἐν κακοῖς. Εὐ. Ἀκολάστου στρατεύματος οὐδὲν ὄφελός ἐστιν. Ξε. Δικαιοσύνη ἔστι μὲν ἀνδρὸς ἑνός, ἔστι δέ που καὶ ὅλης πόλεως. Πλ.*

A. 4. Wenn der Ge. ohne wiederholt zu denkenden Subjectsbegriff im Prädikat erscheint, so bezeichnet er ein Eigenthum in mannigfachen Weisen. A) Wenn das Subject und der Ge-

beide persönliche Begriffe sind, so wird diesem Herrschaft oder Gewalt beigelegt oder auch ein völliges Hingeben des Subjects bezeichnet. *Δοῦλοι βασιλέων εἰσίν, ὁ βασιλεὺς θεῶν, ὁ θεὸς ἀνάγκης, πάντα δ', ἂν σκοπῇς ὅλως, ἑτέρων πέφυκεν, ἡττόνων δὲ μείζονα. Φιλ. Ὁ μὲν δεσπότης τοῦ δούλου δεσπότης μόνον, ἐκείνου δ' οὐκ ἔστιν, ὁ δὲ δοῦλος οὐ μόνον δεσπότου δοῦλός ἐστιν, ἀλλὰ καὶ ὅλως ἐκείνου. Ἀρλ. Εἰμὶ ἐπὶ τῷ βουλομένῳ, ὥσπερ οἱ ἄπιμοι τοῦ ἐθέλοντός εἰσιν. Πλ. Ἦσαν ἐν Ὀλύνθῳ τινὲς μὲν Φιλίππου, τινὲς δὲ τοῦ βελτίστου. Δη. Ὅδ' ἔστι τοῦ λέγοντος, ἢν φόβους λέγῃ. Σο.* [Plebs novarum rerum atque Hannibalis tota esse. Liv. 23, 14. intrr. 3, 38.]

A. 5. Auch der Ge. der Angehörigkeit erscheint bei einem Prädicatsverbum. (Ἐξ oder *ἀπό* hinzugefügt bezeichnen Geburt oder Abstammung vgl. § 68, 16 A. 5 n. 17 A. 8.) Eben so der Ge. der Geschlecht und Geburtsort bezeichnet. *Πατρὸς τίνος ἐστὶ καὶ μητρὸς ὁ Ἔρως; Πλ. Ἀγαθῶν ἐστε προγόνων. Ξε. Οὐδὲν θαυμαστὸν τῶν ἀγαθῶν πατέρων φαύλους υἱεῖς γενέσθαι. Πλ. Παυσανίας γένους τοῦ βασιλείου ἦν. Θ. Θουκυδίδης οἰκίας μεγάλης ἦν. Πλ. Ξενοφῶν πόλεως μεγίστης ἦν. Ξε. Τῶν μεγάλων δήμων ἐστέ. Δη. Τηρεὺς καὶ Τήρης οὐ τῆς αὐτῆς Θρᾴκης ἐγένοντο. Θ.*

[A. 6. Aehnlicher Art (wie A. 4) ist *ἑαυτοῦ γίγνεσθαι* von sich selbst abhängig sein, eigene Mittel und Kräfte gebrauchen (Dem. 2, 30. 4, 7) und *οὐχ ἑαυτοῦ εἶναι, γίγνεσθαι* außer sich sein, gerathen, syn. *οὐκ ἐν ἑαυτῷ* oder *οὐκ ἐν ἑαυτοῦ εἶναι*. Herm. z. Vig. 171, c. 389. (*Οὐκ*) *ἐντὸς αὑτοῦ εἶναι* sagt Dem. 34, 35. 49, *ἔξω αὑτῆς ἦν ὑπὸ τοῦ κακοῦ* 19, 198.]

A. 7. B) Wenn das Subject ein sachlicher, der Ge. ein persönlicher Begriff ist, so bezeichnet dieser bald den Eigenthümer, bald den welchem seinem Wesen oder Charakter nach das Subject eigenthümlich oder gemäß ist. *Οὐ πόλις ἔστ' ἥτις ἀνδρός ἐσθ' ἑνός. Σο. Κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων. Αἰσ. Ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίγνεται. Γν. — Τῶν πλειόνων καὶ ἄμεινον παρεσκευασμένων τὸ κράτος ἐστίν. Θ. Οὐ ταὐθ' ἑταίρων ἐστὶ καὶ φίλων. Δη. Ἀπόστασις τῶν βίαιόν τι πασχόντων ἐστίν. Θ. Κλεπτῶν μὲν ἡ νύξ, τῆς δ' ἀληθείας τὸ φῶς. Εὐ. Αἱ τῶν μαθημάτων ἡδοναὶ οὐ τῶν πολλῶν ἀνθρώπων, ἀλλὰ τῶν σφόδρα ὀλίγων εἰσίν. Πλ.*

A. 8. So steht beim Ge. besonders der Infinitiv als Subject, bezeichnend daß die Handlung dem Ge. angeeignet werde als eine Aeußerung die dem Wesen seines Begriffes angemessen ist, sei es dem wirklich vorhandenen oder dem nur geforderten: Weise, Eigenschaft, Fähigkeit, Zeichen, Gebühr, Pflicht, Loos. *Δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ. Μέ. Τὸ ἐπιμελεῖσθαι οὖ ἂν δέῃ φρονιμωτέρου ἀνδρὸς ἢ τὸ ἀμελεῖν. Ξε. Πενίαν φέρειν οὐ παντός, ἀλλ' ἀνδρὸς σοφοῦ. Μέ. Τὸ σιγᾶν ὁμολογοῦντός ἐστιν. Εὐ. Κακούργου μέν ἐστι κριθέντ' ἀποθανεῖν, στρατηγοῦ δὲ μαχόμενον τοῖς πολεμίοις. Δη. Τοῦ μὲν ἄρχοντός ἐστι τὸ προστάττειν τοῖς πολεμίοις, τοῦ δὲ ἀρχομένου τὸ πείθεσθαι. Ξε. Τὸ μὲν ἀτυχῆσαι παντὸς εἶναί μοι δοκεῖ. Ἀντιφάνης.* Ueber *πρός* §. 68, 37 A. 1.

A. 9. C) Wenn beide, Subject und Ge., sachliche Begriffe sind, so bezeichnet das erstere bald ein Zugehöri-

ges des letzteren, wie bei dem chorographischen Ge., bald ist dabei (wie A. 7 u. 8) der Begriff des Eigenthümlichen, Gebührenden oder Erforderlichen zu denken. *Ἔστιν ἡ Πύλος τῆς Μεσσηνίδος ποτὲ οὔσης γῆς. Θ. — Ποίας χορδῆς ἐστιν ὁ φθόγγος; Πλ. — Σιγὴ μάλισιά ἐστι σώφρονος τρόπου. Γν. Τὰ μέλλοντα προγιγνώσκειν οὐ τῆς ἡμετέρας φύσεώς ἐστιν. Ἰσ. Τύχης τὰ θνητῶν πράγματ', οὐκ εὐβουλίας. Γν. — Ἡ ἡγεμονία ἐστὶ τῆς πόλεως. Ἰσ. Ἔστιν ὁ μὲν λογισμὸς τοῦ συμφέροντος, ἡ δὲ ἀρετὴ τοῦ καλοῦ. Ἀρλ. — Τὸ ναυτικὸν τέχνης ἐστίν. Θ. Ταῦτα παμπόλλων ἐστὶ λόγων. Πλ. Συμφυσῆσαι πολλοῦ χρόνου. Πλ.* (*Ὡς ἐγὼ οὐκ ἀδικῶ σὺ πολλῆς μοι δοκεῖ εἶναι ἀπολογίας. Πλ.*)

[A. 10. D) Nur in wenigen, meist vereinzelt vorkommenden Verbindungen ist das Subject ein persönlicher, der Ge. ein sachlicher Begriff, wobei eine Art Hingebung jenes an diesen zu denken ist. So sagt Thuc. *τῆς αὐτῆς γνώμης εἶναι* 1, 113. 5, 46 vgl. 3, 70 und *ὄντες τῆς σφετέρας γνώμης* 8, 74 vgl. Xen. Hell. 2, 4, 36. Aehnlich *ἔγωγε τούτου τοῦ τρόπου πώς εἰμ' ἀεί* Ar. Plut. 246 vgl. Vögel 109, Eur. Med. 808 vgl. Ar. Plut. 862. 957. *Οὐ τῶν αὐτῶν οὔτε λόγων οὔτε ἔργων ἐστὶν ἡ νεότης τῷ γήρᾳ* Dem. 25, 88. *Λόγου, βίου τινὸς εἶναι* Aesch. 3, 168 vgl. Plat. Gorg. 482, a (anders *ἐπιφανέστατα ἦν καὶ λόγου πλείστου* Her. 9, 32) *τοῦ βελτίστου, συγγνώμης, τοῦ πλείονος εἶναι* Dem. 9, 56. 37, 53.]

(A. 11. Der prädicative Ge. erscheint auch bei den Verben die eine Vorstellung oder Aeußerung bezeichnen, sowohl bei activen als passiven; seltener bei andern (A. 4. 5). *Ἀεὶ νομίζονθ' οἱ πένητες τοῦ θεοῦ. Μέ. Ἀνδρὸς φίλου οἰκίαν καὶ συγγενεῖς αὐτοῦ νομίζειν δεῖ τὸν ὀρθῶς συγγενῆ. Γν. Οἱ δαίμονες θεῶν λέγονται. Πλ. Πατρὸς οὐκ ὠνόμασται, τῆς δὲ μητρὸς ἐν πόλει. Εὐ. Τοῦ αὐτοῦ ἐμοὶ καὶ πατρὸς καὶ δήμου προσαγορεύεται. Δη. —* (A. 7. 8.) *Τίς ἐσθ' ὁ χῶρος; τοῦ θεῶν νομίζεται; Σο. Ὅ, τι ἄν τις λάβῃ παρὰ τοῦ τυράννου, οὐδεὶς οὐδὲν αὐτοῦ νομίζει. Ξε. Οὐκ ἐλευθέρου φέρειν νενόμικα κοινωνοῦσαν ἡδονὴν ὕβρει. Μέ. Οἱ Πέρσαι τὴν Ἀσίαν ἑαυτῶν ποιοῦνται. Ξε.* (*Τὸν καθ' ἡμέραν βίον λογίζου σόν, τὰ δ' ἄλλα τῆς τύχης. Εὐ.*) — *Δούλου τόδ' εἶπας μὴ λέγειν ἅ τις φρονεῖ. Εὐ. Τὸ ταλλότρια αὐτοῦ φάσκειν ἀλαζονείας. Ἀρλ. Τὸ τὰ αἰσχρὰ εἰδότα εὐλαβεῖσθαι σοφοῦ τε καὶ σώφρονος ἔκρινεν. Ξε. Τὸ πολλὰ ἀπολωλέναι τῆς ἡμετέρας ἀμελείας ἄν τις θείη δικαίως. Δη. Τὴν κοινωνίαν οὐκ ἐμήν, ἀλλὰ Δημοσθένους εὑρίσκετε. Αἰ.* [*Εὖηθες τοῦτό γε φανείη ἂν καὶ οὐ Σιμωνίδου. Πλ. Τοῦθ' ὁρῶ πολλοῦ πόνου. Εὐ.*] *Ἐπιδείκνυμαι τὰ ἔργα πολὺ ἥδιον φιλανθρωπίας ἢ στρατηγίας. Ξε.*)

[A. 12. Hieher gehört auch die militärische Redensart *τῆς πρώτης, δευτέρας* ꝛc. (mit und ohne *τάξεως*) *τεταγμένος* ins erste, zweite Glied gestellt Lys. 14, 11. 16, 15, Is. 12, 180, Pl. Kriti 108, c.]

7. Bei vielen Substantiven, insbesondere denen die den Begriff einer Thätigkeit oder Wirksamkeit enthalten, bezeichnet der Ge. sowohl den Gegenstand von dem sie ausgeht als den auf welchen sie sich bezieht: subjectiver und objectiver Ge.

A. 1. So steht der objective Ge. zunächst bei Substantiven die den Ge. regierenden Verben entsprechen. S. § 47, 25 A. 1.

A. 2. Nicht minder entspricht der objective Ge. dem Ac. *Καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων. Ξε. Παρέ-*

λαβον οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν διὰ τὸ Παυσανίου μῖσος. Θ. Οὐ τῶν κακούργων οἶκτος, ἀλλὰ τῆς δίκης. Εὐ. — Δύ' ἐστὸν τὰ τὴν νίκην ἀπεργαζόμενα, θάρρος μὲν πολεμίων, φίλων δὲ φόβος αἰσχύνης πέρι κακῆς. Πλ. Σωκράτης πρὸς τὰς τοῦ χειμῶνος καρτερήσεις θαυμάσια εἰργάζετο. Πλ. Εὐαγόρας διετέλεσε δημοτικὸς ὢν τῇ τοῦ πλήθους θεραπείᾳ. Ἰσ. — Ἀθληταὶ οἱ φύλακες τοῦ μεγίστου ἀγῶνος. Πλ. Μιᾷ νίκῃ ναυμαχίας κατὰ τὸ εἰκὸς ἁλίσκονται. Θ. — Ἡμεῖς ἐμπεδοῦμεν τοὺς θεῶν ὅρκους. Ξε.

A. 3. Wie *νίκη μάχης* ſagte man auch *τρόπαιον μάχης* und ſelbſt *τρόπαιον τῶν πολεμίων. Συρακόσιοι τῆς τε ναυμαχίας τροπαῖον ἔστησαν καὶ τῆς ἀπολήψεως τῶν ὁπλιτῶν. Θ. Ἡ Εὐρώπη τῆς Ἀσίας τρόπαιον ἔστησεν. Ἰσ.* (*Νικίας πολλὰ καὶ καλὰ κατὰ τῶν πολεμίων ἔστησε τρόπαια. Λυ.*)

A. 4. Hieher gehört auch *βίᾳ τινός* wider Jemandes Willen. *Κέρκυραν ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον. Θ.*

A. 5. Eben ſo entſpricht der objective Ge. auch dem Dativ, am häufigſten dem beſitzlichen, ſeltener dem dynamiſchen. *Ἀχαρνάνων τινὲς Δημοσθένους φιλίᾳ καὶ Ἀθηναίων εὐνοίᾳ ἐπεκούρησαν. Θ. Οἱ ἥσσονες ὑπέμενον τὴν τῶν κρεισσόνων δουλείαν. Θ. Τῶν κακῶν συνουσίας φεῦγε ἀμεταστρεπτί. Πλ. Οἱ Ἕλληνες οὐδὲν πρὸ τῶν Τρωικῶν δι' ἀμιξίαν ἀλλήλων ἀθρόοι ἔπραξαν. Θ. Λύσετε τὰς Λακεδαιμονίων σπονδάς. Θ. Τὸν θεῶν πόλεμον οὐκ ἂν φεύγων τις ἀποφύγοι. Ξε. Ὁ λόγος τοὺς Ἕλληνας παρακαλεῖ ἐπὶ τὴν τῶν βαρβάρων στρατείαν. Ἰσ. Ἅμα τῇ τῶν Πλαταιῶν ἐπιστρατείᾳ ἐστράτευσαν ἐπὶ Χαλκιδέας. Θ. Δημοσθένης τὴν ἐπιχείρησιν τῶν Ἐπιπολῶν ἐποιεῖτο. Θ. Ἡ Ῥόδος τῆς βασιλέως ἀρχῆς ἐπιτείχισμα ἦν. Δη. Οὐ λόγων τοὺς ἀγῶνας προτίθεμεν, ἀλλ' ἔργων. Θ. Ἐπέρχεταί ποτε νόσων ἢ πολέμων φθορά. Πλ. Ἡ μετὰ ψήφου ἀδίκου καταγνώσεως ἢ χειρὶ ἐκτῶνιο τὸ κρατεῖν. Θ.*

A. 6. Zuweilen entſpricht der Ge. ſelbſt einer Präpoſition, am häufigſten unſerm wegen, über. *Οὐ κακοῦργός εἰμι οὐδ' ἔνοχος τῷ τῶν κακούργων νόμῳ. Ἀντ. Οἱ Λακεδαιμόνιοι κελεύουσι τὸ Μεγαρέων ψήφισμα καθαιρεῖν. Θ. Ἦν ὁ τῆς βλάβης ὑμῖν νόμος πάλαι. Δη. Ὅπλων ἀποβολῆς ἔστω δίκη ὀφθέντων. Πλ. Εἰσελαύνετε αὐτὸν εἰς τοὺς τοῦ πράγματος λόγους. Αἰ. Τῶν ἀκουσίων ἁμαρτημάτων καταφυγή εἰσιν οἱ βωμοί. Θ. Χάριν αὐτοῖς τῆς προθυμίας ἀποδώσω. Ξε. Τὴν φιλολογίαν οὐ μικρὸν ἡγοῦνται συμβαλέσθαι μέρος πρὸς τὴν τῶν λόγων παιδείαν. Ἰσ.*

A. 7. Für den objectiven Ge. A. 5 erſcheint vielfach auch der Dativ (ſ. § 48, 12 A. 4 ff.); ſinngemäße Präpoſitionen für eben denſelben wie für den A. 2 ff. in einzelnen Verbindungen und für den A. 6 häufig.

A. 8. Da auch der objective Ge. poſſeſſiver Natur iſt, ſo entſprechen ihm gleichfalls die poſſeſſiven Pronomina. Die Genitive der perſönlichen ſind in dieſer Verbindung nicht üblich. Hieher gehört auch *σὴν χάριν* deinetwegen. *Εὐνοίᾳ καὶ φιλίᾳ τῇ ἐμῇ τὸ δέον συλλαμβάνουσιν. Ξε. Τὸ δέος αὐτοὺς ποιεῖ τό, τε ὑμέτερον καὶ τὸ τῶν κατηγόρων στρατεύεσθαι. Λυ. Προκαταλαμβάνουσιν ἡμᾶς νῦν ἐς τὴν ὑμετέραν ἐπιχείρησιν. Θ. Σὴν χάριν ἐλέγχειν τὸν λόγον ἐπιθησόμεθα. Πλ. Συγχωρητέον χάριν σήν. Πλ.*

8. Ein Subſtantiv kann einem Ge. auch als der Menge

oder Masse zu der er gehört, aus der er besteht, angeeignet werden: Ge. des Stoffes. *Κρεῖττον ἢ βοῶν φίλων ἀγέλην κεκτῆσθαι. Ξε. Ὁρῶσι σωροὺς σίτων, ξύλων, λίθων. Ξε. Περὶ τὸν ναὸν ἄλσος ἡμέρων δένδρων ἐφυτεύθη. Ξε. Τότε μὲν ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος, νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται. Αἰ. Κρήνη ἡδέος ὕδατός ἐστιν ἐπ' αὐτῇ τῇ θαλάττῃ. Ξε. Ἐκεῖ λέγουσι ῥεῖν πολὺ πῦρ καὶ πυρὸς ποταμοὺς μεγάλους. Πλ. — Οὐσίαν ἔχει χρυσοῦ ἢ ἄλλου τινὸς κτήματος. Πλ. Ἡ πόλις νομίσματος ἀργύρου καὶ χρυσοῦ ἐμπίπλαται. Πλ. Ἔχει μὲν χρυσίου τρία τάλαντα, σιτῆρα δὲ χρυσοῦ. Πλ. Προσῆει τετρακόσια τάλαντα φόρου κατ' ἐνιαυτόν. Θ. — Ἀβροκόμας εἶχε τριάκοντα μυριάδας στρατιᾶς. Ξε. — Ὁδοῦ περιῆλθον στάδια πλεῖν ἢ χίλια. Ἀρ.*

A. 1. Mit einem numerischen Adjectiv verbunden [oder es enthaltend] erscheint der Ge. des Stoffes als Ge. des Betrages (von Raum, Zeit, Belauf, Werth): von, für. *Ὀκτὼ σταδίων ἤδη ἀπετετέλεστο τεῖχος. Θ. Ἔφεσος ἀπέχει Σάρδεων τριῶν ἡμερῶν ὁδόν. Ξε. Σῖτον οὐχ οἷόν τε ἔχειν πολλοῦ χρόνου πεζῇ ἰόντα. Ξε. Τῇ στρατιᾷ ἀπέδωκε Κῦρος μισθὸν τεττάρων μηνῶν. Ξε. Τριάκοντα ταλάντων οὐσίαν ἐκτήσατο. Αν. Χιλίων δραχμῶν δίκην φεύγω. Λη. (Μίνως τοὺς οἰκοῦντας τὴν Ἀττικὴν παρεστήσατο εἰς χαλεπήν τινα φορὰν δασμοῦ. Πλ.)*

A. 2. Auch dieser Ge. kann als Prädicat seinem Subject durch *εἶναι* rc. oder auch durch Apposition angefügt werden. *Τοῦ Μαρσύου τὸ εὖρος εἴκοσι καὶ πέντε ποδῶν (ἐστιν). Ξε. Τὸ τεῖχος σταδίων ἦν ὀκτώ. Θ. Εἴπερ ἴσον, ἴσων ἂν εἴη μέτρων. Πλ. Γαμεῖν δεῖ ἐπειδὰν ἐτῶν ᾖ τις τριάκοντα. Πλ. (Ἡ πόλις μεγίστη ἔσται καὶ ἐὰν μόνον χιλίων ᾖ τῶν προπολεμούντων. Πλ. Οὐδὲ μιᾶς ἡμέρας ἐσὶ τὰ ἐπιτήδεια. Ξε. Οἱ στέφανοι ῥόδων ἦσαν, ἀλλ' οὐ χρυσίου. Λη.) — Ἀφικνοῦνται ἐπὶ τὸν Εὐφράτην ποταμόν, ὄντα τὸ εὖρος τεττάρων σταδίων. Ξε. Παρὰ τὴν πόλιν ἦν πυραμὶς λιθίνη, τὸ μὲν εὖρος ἑνὸς πλέθρου, τὸ δὲ ὕψος δυοῖν (οὖσα). Ξε.*

(A. 3. Wenn das den Ge. des Stoffes regierende Wort mit dem Artikel verbunden (auch als Object) steht, so müssen wir uns die Construction zur Verdeutlichung auflösen, z. B. *οἱ θεμέλιοι παντοίων λίθων ὑπόκεινται* in *οἱ θεμέλιοι οἳ ὑπόκεινται παντοίων λίθων εἰσίν. Θ. Τὴν πόλιν ξυμμίκτων ἀνθρώπων ᾠκισεν. Θ. Ὁ λιμὴν ὁ μέγας εἶχε τὸ στόμα ὀκτὼ σταδίων. Θ. Λυοῖν ἤδη μηνοῖν ὤφειλε τὸν μισθόν. Ξε. Τὰ ἐπιτήδεια ἔλαβον ἑπτὰ ἡμερῶν. Ξε.) [Συνεζεύξατο τὸ ἑαυτοῦ ἅρμα τετράρυμον καὶ ἵππων ὀκτώ. Ξε.]* Vgl. § 50, 11 A. 1.

A. 4. Aus dem Ge. des Stoffes entwickelt sich der Ge. des Inhaltes. *Ταμιεῖον ἀρετῆς ἐστι γενναία γυνή. Γν. Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον. Γν. Ἐξέπεμπον δύο χοίνικας ἑκάστῳ Ἀττικὰς ἀλφίτων καὶ δύο κοτύλας οἴνου. Θ. Ἁμάξας σίτου προέπεμπε. Ξε. Εἶδε πλοῖα πολλὰ σίτου. Ξε. [Ὅμηρος πεποίηκε τὰς Βοιωτῶν ναῦς εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν. Θ.* vgl. A. 3.]

A. 5. Der Ge. des Stoffes und Inhaltes erscheint gewöhnlich ohne Artikel, weil hier selten ein deiktischer Bezug zu nehmen ist, während

beim partitiven Ge. der Artikel mehrentheils erforderlich ist. (*Θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή. Γν. Τέτταρες ἐλέγοντο παρασάγγαι εἶναι τῆς ὁδοῦ. Ξε. Ἀσύνετος ὅστις ἐν φόβῳ μὲν ἀσθενής, λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα. Εὐ.*)

9. Auch der partitive Ge., dem als der Masse ein Theilbegriff angeeignet wird, kann mit Substantiven verbunden werden: aus der Zahl u. ä. *Ἄνδρα οἶδα τοῦ δήμου. Ξε. Ἐάν τις ὑβρίζῃ εἴς τινα ἢ παῖδα ἢ γυναῖκα ἢ ἄνδρα τῶν ἐλευθέρων ἢ τῶν δούλων, γραφέσθω ὁ βουλόμενος Ἀθηναίων. Δη. — Ἐβοήθει Ἀρίσταρχος καὶ τῶν ἱππέων νεανίσκοι. Θ. Ἐπιφορὰς ἐδίδοσαν τοῖς θρανίταις τῶν ναυτῶν. Θ. — Ἀποβάλλουσιν ἄνδρας σφῶν αὐτῶν. Θ. — Οἱ Κυθήριοι Λακεδαιμόνιοί εἰσι τῶν περιοίκων. Θ. Παλῆς Κεφαλήνων ξυνέπλεον. Θ. — Οἱ Λωριῆς ἡμῶν πολέμιοι τοῖς Ἀθηναίοις. Θ. Προηγώνισθε τοῖς Μακεδόσιν αὐτῶν. Θ. — Εἰσεφέρετο τροχὸς τῶν κεραμεικῶν. Ξε.*

A. 1. So steht der partitive Ge. [ohne zu ergänzendes *τὶς*] auch bei individuellen Namen, selbst appositiv; der Ge., wenn er ein Nomen ist, regelmäßig mit, der individuelle Name ohne Artikel. *Συρακούσας Ἀρχίας τῶν Ἡρακλειδῶν ᾤκισεν. Θ. [Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι. Πλ.] Κόνων καταφεύγει ἐς Μυτιλήνην καὶ τῶν δέκα στρατηγῶν Λέων καὶ Ἐρασινίδης. Ξε. Ξυνῆλθον ἐς λόγους Κλέων καὶ ἐκείνων Στύφων. Θ. — Παταγύας, ἀνὴρ Πέρσης, τῶν ἀμφὶ Κῦρον πιστῶν, προφαίνεται. Ξε.*

A. 2. Auch der partitive Ge. kann seinem Subject durch ein Prädicatsverbum angefügt werden. *Ἔνιοι ὄντες ὡς ἀληθῶς τοῦ δήμου τὴν φύσιν οὐ δημοτικοί εἰσιν. Ξε. Οὐ σὺ Κριτόβουλον ἐνόμιζες εἶναι τῶν σωφρονικῶν ἀνθρώπων μᾶλλον ἢ τῶν ἀνοήτων; Ξε. Τῶν λαμβανόντων εἰσὶν οἱ μανθάνοντες. Πλ. — Τῆς βασιλικῆς ἐστιν ἡ νομοθετική. Πλ. Ὁμολογήσας τῶν μεγίστων ἀγαθῶν εἶναι δικαιοσύνην. Πλ. Ἡ Σπάρτη τῶν ὀλιγανθρωποτάτων πόλεών ἐστιν. Ξε. — Νομίσατε εἶναι τοῦ καλῶς πολεμεῖν τὸ ἐθέλειν αἰσχύνεσθαι καὶ τοῖς ἄρχουσι πείθεσθαι. Θ. Τὸ ἐν ἰσηγορίᾳ δοκοῦντα ἄξιόν τινος ὄντα τιμᾶσθαι τῶν καλῶν ἐστιν. Δη. Τὸ λέγειν περὶ αὐτοῦ παρ' ὑμῖν ἀεὶ τῶν πάνυ λυσιτελούντων ἐστίν. Δη. — Οἳ ἂν ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίγνονται. Ξε.*

(A. 3. Auch dieser Ge. erscheint bei Verben der Vorstellung, Aeußerung, Darstellung, Wahl u. ä. vgl. 6 A. 11. *Σόλων τῶν ἑπτὰ σοφιστῶν ἐκλήθη. Ἰσ. Κάλλαρον ἐπεγράψατο τῶν ἐμῶν δούλων. Δη. Οὐδαμοῦ πώποτε ὁ Μειδίας τῶν συγχαιρόντων ἢ συνηδομένων τῷ δήμῳ ἐξητάσθη. Δη. — Λακεδαιμόνιοι Χίλωνα τῶν γερόντων ἐποίησαν. Ἀρλ. Τί με κωλύει κληροῦσθαι τῶν ἐννέα ἀρχόντων; Λυ. — Ἐμὲ θὲς τῶν πεπεισμένων. Πλ. Τίθημι τῶν περὶ τὰς ἡδονὰς τὴν μαγειρικήν. Πλ.*)

A. 4. Wenn in solchen Verbindungen *εἷς* oder *τὶς* hinzugefügt wird, so haben sie ihre Bedeutung, wenn auch, wie besonders *εἷς*, nicht immer eine sehr hervortretende. *Ὁ ἄνθρωπος ἓν τῶν ζώων ἐστίν. Πλ. Πένης εἰμὶ καὶ τοῦ πλήθους εἷς. Ἰσ. Τοῦτο ἂν τῶν χρησιμωτάτων ἓν εἴη, τὸ γνῶναι τὰς φύσεις τε καὶ τὰς ἕξεις τῶν ψυχῶν. Πλ. — Τὴν*

βασιλικὴν τέχνην τῶν ἐπιστημῶν εἶναί τινα ἔφαμεν. Πλ. Τίθεμέν τι τῶν ὄντων τὴν ψυχήν. Πλ.

Besondere Verbindungsarten von Genitiven.

[A. 5. Als Vertreter ihres Substantivs können auch ὅδε, οὗτος und ὅς einen Ge. bei sich haben. *Αὐτὸς μ' ἀφαιροῦ. τόνδε Διονύσου φορῶ (θύρσον). Εὐ. Περὶ τῆς μητρός, καὶ γὰρ ταύτην διαβεβλήκασί μου, λέξω. Δη. — Τὸν τειχισμόν, ὃν σύ μου διέσυρες, ἄξιον ἐπαίνου κρίνω. Δη. Τὰ μακρὰ τείχη, ἃ σφῶν οἱ Ἀθηναῖοι εἶχον, κατέσκαψαν. Θ. Τῇ ἀσπίδι πρὸς τὸ τροπαῖον ἐχρήσαντο ἣ ἔστησαν τῆς προσβολῆς ταύτης. Θ. — Τοὺς ὀχετοὺς αὐτῶν, οἳ ἐς τὴν πόλιν ὑπονομηδὸν ποτοῦ ὕδατος ἠγμένοι ἦσαν, διέφθειραν. Θ. — Παυσανίας ἐς οἴκημα οὐ μέγα, ὃ ἦν τοῦ ἱεροῦ, ἐσῆλθεν. Θ.*]

A. 6. Ein Substantiv kann zwei Ge. verschiedener Art regieren, z. B. einen subjectiven und objectiven, einen possessiven oder partitiven neben einem Ge. des Stoffes, Betrages ꝛc.; ja selbst zwei gleichartige von verschiedener Beziehung. *Τὸ γνῶθι σαυτὸν πρόρρησίς ἐστι τοῦ θεοῦ τῶν εἰσιόντων ἀντὶ τοῦ χαῖρε. Πλ. Ἡ Χειρισόφου ἀρχὴ τοῦ παντὸς κατελύθη. Ξε. Τὴν ἁπάντων ἧτταν ἐφοβεῖτο ἀνθρώπων τοῦ πόματος. Πλ. Ἄτοπος Διονύσου πρεσβυτῶν χορός. Πλ. Δέκα ἐτῶν τὸ ἔργον αὐτῶν δύο τάλαντα. Δη. Δοκοῦμεν ἀδικεῖν διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν. Θ. Τοσαύτην ὑπερβολὴν ἐποιήσατο ἐκείνων τῆς αὐτοῦ βδελυρίας. Δη.*

A. 7. Oft ist der eine Ge. mit dem regierenden Worte als ein Gesammtbegriff zu denken, der als eine Art Compositum (wie unser Todesfurcht, Siegstropäen ꝛc.) verschmolzen den zweiten Ge. regiert. *Οἱ ἄνθρωποι διὰ τὸ αὐτῶν δέος τοῦ θανάτου καὶ τῶν κύκνων καταψεύδονται. Πλ. Ὅδε πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια. Ἀρ.*

A. 8. Die Verbindung mehrerer Ge. schien selbst bei gleicher Endung wenig anstößig. So war wie *τοὺς (τὰς, τὰ) ἑαυτῶν (—)* auch *τῶν ἑαυτῶν (—)* u. ä. gewöhnlich. *Οἱ Λακεδαιμόνιοι τῶν ἑαυτῶν ξυμμάχων κατεφρόνουν. Ξε. Οἱ Ἀθηναῖοι ὀλίγας ἡμέρας στερηθέντες τῶν αὐτῶν πολὺν χρόνον ἄλλων δεσπόται κατέστησαν. Ἰσ. Κύρου ἦσαν τοῦ ἐκείνου δούλου. Ξε. Βίᾳ οὐδὲν ἑλαμβάνομεν τῶν ἐκείνων. Ξε. Ὤοντο διὰ τῶν ἑτέρων κινδύνων τὰ ἑαυτῶν ἀσφαλῶς σχήσειν. Δη. Πολὺ ἂν ἥδιον τὰ τῶν ἄλλων λάβοιεν ἢ δοῖεν ἑτέροις ὁτιοῦν τῶν σφετέρων αὐτῶν.* Vgl. § 51, 2 A. 10.

Stellung der Genitive in Verbindung mit Nominen.

A. 9. Der possessive Ge. kann seiner adjectivischen Natur halber zwischen den Artikel und das regierende Substantiv eingeschoben werden oder ihm folgend dessen Artikel wiederholt vor sich haben: attributive Stellung. *Οὐκ ἀλλότριον ἡγεῖται ὁ Ἀθηναίων δῆμος τὸν Θηβαίων δῆμον. Δη. Τὸ μὲν ἱππικὸν τὸ ἐκείνων οὕτω μάχεται, τὸ δὲ ὁπλιτικὸν τὸ τῶν Ἑλλήνων ὡς ἐγὼ λέγω. Πλ.*

A. 10. Eigentlich mehr partitive Bedeutung hat der Ge., wenn er entweder vor dem Artikel steht oder ohne Wiederholung desselben nach dem Substantiv eintritt: partitive Stellung. *Στεφανοῦσιν Ἀθηναίων τὴν βουλὴν καὶ τὸν δῆμον. Δη. Ὥσπερ οἰκίας τὰ κά-*

τωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς εἶναι προσήκει. Δη. Μὴ γιγνώσκων τὴν οὐσίαν τί ποτε βούλεται σχολῇ γε τὴν ὀρθότητα τῆς βουλήσεως ἢ καὶ τὴν ἁμαρτίαν αὐτοῦ διαγνώσεται. Πλ.

[A. 11. Bei dem eigentlich partitiven Ge. findet sich dies Gesetz ziemlich strenge beobachtet; doch wird er zuweilen eingeschoben: eine Art Hyperbaton. *Οἱ Ἀθηναίων ἐῶσιν ἄνδρες ἕνδεκα.* Πλ.]

A. 12. Mit einem vom Artikel begleiteten Substantiv verbunden erfordern die reflexiven Ge. (ἐμαυτοῦ ꝛc.) wie αὐτοῦ ipsius die attributive, die persönlichen (μοῦ ꝛc.) wie αὐτοῦ ejus die partitive Stellung. *Ἐλεύθερον φύλαττε τὸν σαυτοῦ τρόπον.* Μέ. *Κακουργότατόν ἐστι μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν.* Ξε. *Κόσμησον τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς κόσμῳ.* Πλ. — *Ὠνόμασέ μου τὴν πρόνοιαν δειλίαν.* Ἀρ. *Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.* Σο. *Παλαίσμαθ' ἡμῶν ὁ βίος.* Εὐ. *Ὕπνος πολὺς οὔτε τοῖς σώμασι οὔτε ταῖς ψυχαῖς ὑμῶν ἁρμόττων ἐστὶ κἀκὰ φύσιν.* Πλ. *Μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα καὶ τὸν παῖδα αὐτῆς.* Ξε.

A. 13. Nicht leicht erscheint in dieser Verbindung ἐμοῦ; noch weniger in der att. Prosa οὗ § 25, 1 A. 5 vgl. § 51, 2 A. 3, nur nach ionischer Weise, die bei Spätern wiederkehrt Pl. Rep. 614 b, 618 a; σφῶν (ohne αὐτῶν) öfter bei Thucydides, hin und wieder bei Plato, selten bei andern attischen Prosaikern, wie Xen. Cyr. 3, 2, 25, nie bei den Rednern; demnach eig. auch dies unattisch. Statt οὗ wird ἑαυτοῦ oder αὐτοῦ, statt σφῶν aber ἑαυτῶν oder σφέτερος αὐτῶν gesagt. Vgl. § 51, 2 A. 4 ff.

A. 14. Bei hinzutretender Präposition pflegen μοῦ ꝛc., wenn sie voranstehen, auch ihr vorauszugehen. *Εἴωθε παίζειν μου εἰς τὰς τρίχας.* Πλ.

A. 15. Oft werden μοῦ ꝛc. von ihrem Substantiv durch eingeschobene Worte getrennt. *Χρὴ πιόντα περιέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται.* Πλ. *Ἀνὴρ εἰς ἀγορὰν οἴχεταί μου.* Ἀρ. *Λέγω ἁρμονίαν ἡμῶν εἶναι τὴν ψυχήν.* Πλ.

(A. 16. Eingeschoben werden μοῦ ꝛc. öfter, wenn der Artikel noch ein Wort neben sich hat. *Ἡ πάλαι ἡμῶν φύσις οὐχ ἡ αὐτὴ ἦν ἥπερ νῦν.* Πλ. *Γνώσεσθε τὴν ἄλλην αὐτοῦ πονηρίαν.* Ἰσ.)

(A. 17. Die reflexiven Ge. finden sich bei partitiver Bedeutung auch in partitiver Stellung. *Ἀπολέσαντες αὐτῶν τοὺς βελτίστους ἐπὶ τοῖς χειρίστοις τῶν πολιτῶν γεγόνασιν.* Ἰσ.)

A. 18. Sonst finden sich von der Regel A. 12 am häufigsten bei ἑαυτοῦ und αὐτοῦ Ausnahmen, die man zum Theil durch geänderten Spiritus beseitigen kann. Manche jedoch sind nicht anzutasten und auf eine oder die andere Weise zu erklären, z. B. durch eigenthümliche Bedeutung oder Betonung. *Ἂν ὀκνῇς τὸ μανθάνειν, ἀνεπικούρητον σεαυτοῦ τὸν βίον λήσῃ ποιῶν.* Φιλ.

A. 19. Der Ge. (auch des relativen οὗ) kann unmittelbar nach der Präposition vor dem ihn regierenden Nomen eintreten. So besonders häufig Thucydides. *Λόγοι ἀληθεῖς ἄριστοι φρουροί τε καὶ φύλακες ἐν ἀνδρῶν θεοφιλῶν εἰσι διανοίαις.* Πλ. *Πέμπει ἐς τῶν Σικελῶν τοὺς τὴν δίοδον ἔχοντας.* Θ. *Δεῖ τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων τῆς δεινότητος ποιεῖσθαι, ἀλλ' ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας.* Θ. — *Αἰσχύνθητε Δία, ἐν οὗ τῷ ἱερῷ ἐσμεν.* Θ. *Δουλεύει*

ταῖς αἰσχίσταις ἡδοναῖς, ἐφ' ὧν οὐδενὸς δεῖ κρατεῖσθαι τὸν γενναῖον καὶ ἐλεύθερον. Αἰ. — [Ἐσέπεσον ἔς του χωρίον ἰδιώτου. Θ.]

(A. 20. Zwiſchen den Ge. des Artikels und ſein Nomen kann das den Ge. regierende oder dem regierenden Worte angehörige *τις* nur dann eintreten, wenn noch eine anderweitige Beſtimmung dem Artikel folgt. [*Τῶν τις (τινὲς) Φοινίκων* u. ä. iſt ioniſch, von einigen der Spätern wieder aufgenommen.] *Τῶν ἄλλων τινὰς Ἑλλήνων ἐκείνῳ προεῖσθε. Δη. Τῶν Τισσαφέρνους τις οἰκείων παρηκολούθει. Ξε. Τοὺς ἐκείνου τις εὐεργέτας κακῶς λέγει. Δη.*)

10. Auch adjectiviſche Begriffe können ſubſtantivirt wie mit Poſſeſſiven und andern Adjectiven, ſo nicht minder mit dem poſſeſſiven Ge. verbunden werden; Masculina und Feminine von Participien jedoch nur wenn ſie völlig ſubſtantiviſch geworden ſind, wie *ἄρχων, συνάρχων, προσήκοντες* Angehörige ꝛc. *Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι. Εὐ. — Τὰ λαμπρὰ τῆς τύχης τὴν κτῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει. Γν. Ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς. Εὐ. — Δίκαιον τὸ τοῦ κρείττονος ξυμφέρον δοκεῖ εἶναι τῷ κρείττονι. Πλ.*

[A. 1. Poetiſch ſind Ausdrücke wie *ὁ ἐκείνου τεκών* Eur. El. 335 vgl. Alc. 167 u. Aeſch. Perſ. 241, *ὁ κείνου γενόμενος* Dr. 510? *τὸν ἑαυτῆς ἔχοντα* Pl. Phädr. 244 1, e. Aehnlich iſt *ἡ ἐμὴ κεκτημένη* Ar. Ekkl. 1126.]

A. 2. Das ſubſtantivirte Neutrum von Pronominaladjectiven wird auch mit einem Ge. ſelbſt eines perſönlichen Begriffes verbunden, um etwas demſelben äußerlich oder innerlich Angehöriges zu bezeichnen: Beſitzung, Beſtandtheil, Eigenſchaft, Aeußerung u. ä. *Ταῦτα εἶχον Ἀθηναῖοι Πελοποννησίων. Θ. Ἃ μὴ σεαυτοῦ, τῆς τύχης δὲ πάντ' ἔχεις, τί ἂν φθονοίης ὦ πάτερ τούτων τινί; Μέ. Ἄργους οὐδέν ἐσθ' ἡμῖν ἔτι. Εὐ. Ἃ εἵληφε τῆς πόλεως ἀποδώσει. Δη. Τῷ ὁρῶμεν ἡμῶν αὐτῶν; τῇ ὄψει. Πλ. Ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός. Ἀρ. Τόδε αὐτῶν οὐ χάριεν, τὸ πάντων ἔχθιστον ἡγεῖσθαι τὸν τἀληθῆ λέγοντα; Πλ. [Τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν. Δη. Τὸ εὖ φρονεῖν αὐτῶν μιμεῖσθε. Δη.] Τοῦτο ἐπαινῶ Ἀγησιλάου, ἐπαινῶ δὲ κἀκεῖνο τῆς προνοίας αὐτοῦ. Ξε. Σωφροσύνης οὐ τὰ τοιάδε μέγιστα, ἀρχόντων μὲν ὑπηκόους εἶναι, αὐτοὺς δὲ ἄρχοντας τῶν ἡδονῶν; Πλ. Οἶσθ' οὖν ὃ κάμνει τοῦ λόγου μάλιστά σοι; Εὐ.* (Material iſt der Ge. in *ἡ λῃστεία ἔφερέ τι καὶ δόξης. Θ.; ἔλλειπω τι, οὐδὲν προθυμίας* u. ä.)

A. 3. Meiſt von einer Präpoſition (*ἐν, εἰς, κατά, παρά*) abhängig finden ſich [*τί,*] *τοῦτο, τοσοῦτο, πᾶν* u. ä., Neutra mit einem (wohl materialen) Ge., der die Zeit oder den Zuſtand bezeichnet wovon jene Begriffe die bezüglichen Momente ausdrücken, (der Ge. meiſt ohne Artikel). *Ἔτυχε κατὰ τοῦτο [τοῦ] καιροῦ ἐλθών. Θ. Εἰς τοῦτο τῆς ἡλικίας ἀφῖκται. Λυ. Εἰς ὅσον ἡλικίας ἥκει, οὐδενὸς χείρων ἐστίν. Πλ. — Ἐν τούτῳ τύχης εἰσίν. Θ. Ὁ Νικίας ἥκιστα ἄξιος ἦν εἰς τοῦτο δυστυχίας ἀφικέσθαι. Θ. — Εἰς τοσοῦτον ἥκομεν ἀπαιδευσίας. Πλ. Εἰς τοῦτο θράσους καὶ ἀναιδείας ἀφίκετο. Δη. (Τί ποτε μερίμνης ἐς τόδ' ἦλθες ὦ γύναι. Εὐ.) — Οἱ Ἀθηναῖοι ἐν παντὶ δὴ ἀθυμίας ἦσαν. Θ. Εἰς πᾶν μοχθηρίας προελήλυθε τὰ πράγματα. Δη.*

A. 4. Eben so fügt sich der Ge. an Adverbia des Ortes, auch bei uneigentlicher Bedeutung, so wie der Zeit: an jene gewöhnlich, wenn der Ge. ein unbestimmter Begriff ist, ohne Artikel, an diese meist mit demselben. *Γῆς γε οὐδαμοῦ οἶμαι ἀγαθὴν πολιτείαν εἶναι. Πλ. Οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρει. Σο. — Ἐς Σίγειον κατῆραν καὶ ἄλλοσε τῶν ταύτῃ χωρίων. Θ. Τινὰς ὑμῖν ἔκ τε Ἄργους ὁρῶ καὶ ἄλλοθεν τῶν Ἑλλήνων εἰς τὴν χώραν κατωκισμένους. Πλ. Μέχρι δεῦρο τοῦ λόγου καλῶς ἂν ἔχοι. Πλ. — Οὐδ' ἐνταῦθ' ἔστι τῆς ὕβρεως. Δη. Ἐγνωκότες ἦτε οὐ ἦν κακοῦ ἡ πόλις. Αν. Ὦ τλῆμον οὐκ οἶσθ' οἳ κακῶν ἐλήλυθας. Εὐ. Πόρρω σοφίας ἥκει. Πλ. — Πηνίκ' ἔστι τῆς ἡμέρας; Ἀρ. Τῆς ὥρας ἐγίγνετο ὀψέ. Δη. Διελεγόμην πόρρω τῶν νυκτῶν. Πλ. Ἐκάθευδον μέχρι πόρρω τῆς ἡμέρας. Ξε. — Γίγνομαι παχὺς τηνικαῦτα τοῦ θέρους. Ἀρ. Οἱ τῶν πλουσιωτάτων υἱεῖς πρωιαίτατα εἰς διδασκαλίαν τῆς ἡλικίας ἀρξάμενοι φοιτᾶν ὀψιαίτατα ἀπαλλάττονται. Πλ.*

A. 5. Auch Adverbia der Beschaffenheit haben, meist mit *ἔχειν* verbunden, das Object an dem man sie gedacht wissen will im Ge. beigefügt, diesen in der Regel ohne Artikel, also material. *Ἡ τάξις ἄριστα σωμάτων εἶχεν. Ξε. Ἐδίωξαν ὡς τάχους ἕκαστος εἶχεν. Ξε. Ἀκολασίαν φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν. Πλ. Πῶς ἔχεις δόξης τοῦ τοιοῦδε πέρι; Πλ. Ὡς ἂν ὑμεῖς πρὸς ἕκαστον ἔχητε εὐνοίας, οὕτως ὁ λέγων ἔδοξεν εὖ φρονεῖν. Δη. Οὗτος ἱκανῶς ἐπιστήμης ἕξει. Πλ. — Ἡράκλεια τοῦ τε πρὸς Ἀθηναίους πολέμου καλῶς ἐδόκει καθίστασθαι, τῆς τε ἐπὶ Θρᾴκης παρόδου χρησίμως ἕξειν. Θ.*

(A. 6. Aehnlich steht mit dem Ge. *κατὰ ταῦτα* Plat. Soph. 253, *ἐν καλῷ* Xen. Hell. 6, 2, 9 vgl. Isokr. 15, 108.). Verschieden ist *πρὸς βορέαν τοῦ* nördlich vom u. ä. *Τιλαταῖοι οἰκοῦσι πρὸς βορέαν τοῦ Σκομίου ὄρους. Θ.*)

A. 7. Dem ähnlich gebrauchten Ac. gesellt sich der Artikel. *Ἀεὶ ἔστι τοῖς τὰ σώματα καὶ τὰς ψυχὰς εὖ ἔχουσιν εὐτυχῆσαι. Ξε. Φύσει τε καὶ διαίτῃ ὑγιεινῶς ἔχουσι τὰ σώματα. Πλ.*

III. Der Genitiv bei Sätzen, Verben der Auffassung, Berührung u. ä.

A. 8. Der Grieche faßt leicht Sätze zu einer Gesammtvorstellung, einem Begriffe zusammen. Daher finden sich bei Verben der Vorstellung [und Aeußerung] auch von einem Satze (mit *ὅτι, ὡς*, so wie einem relativen oder interrogativen) abhängige Ge., die wir uns durch ein ergänztes (zuweilen auch hinzugefügtes) *τοῦτο* oder *τόδε* verdeutlichen können. *Ἐνθυμοῦ τῶν εἰδότων ὅ, τι λέγουσι καὶ ὅ, τι ποιοῦσιν. Ξε. Τῶν λεγόντων ὑπενοεῖτε ὡς ἕνεκα τῶν αὐτοῖς ἰδίᾳ διαφόρων λέγουσιν. Θ. Οὐδὲν πανόμεθα ἀγνοοῦντες ἀλλήλων ὅ, τι λέγομεν. Πλ. Τοῦ οἴκαδε πλοῦ διεσκόπουν ὅπῃ κομισθήσονται. Θ. [Τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων ἐν οἷς νῦν ἐστιν. Σο.] (Τοῦτο ἄξιον ἐπαινεῖν τῶν ἀνδρῶν ὅτι τὸν φόβον διέλυσαν τῶν Ἑλλήνων. Πλ.)*

A. 9. Bei *θαυμάζειν* und *ἄγασθαι* steht nicht nur in dieser Verbindung, sondern auch ganz unabhängig der Ge. sowohl persönlicher als sachlicher Begriffe, indem als ihn bestimmendes

Object ein unbestimmtes Etwas bloß vorschwebt; daneben auch der Ac. [dieser angeblich, besonders bei θαυμάζειν, da wo etwas beifällig, jener wo es misfällig zu bezeichnen ist]. *Εἰ ἄγασαι τοῦ πατρὸς ἢ ὅσα βεβούλευται ἢ ὅσα πέπραχε, πάνυ σοι συμβουλεύω τοῦτον μιμεῖσθαι. Ξε. Τῶν κατηγόρων θαυμάζω οἳ ἀμελοῦντες τῶν οἰκείων τῶν ἀλλοτρίων ἐπιμελοῦνται. Αν. — Οὐ θαυμάζω τῶν ὑπὲρ τῆς ἰδίας δόξης ἀποθνήσκειν ἐθελόντων. Ἰσ. Θαυμάζω μάλιστα τούτου τῆς διανοίας. Αν. — Ἐθαύμαζον τοὺς Κορινθίους πρύμναν κρουομένους. Θ. — Ἄγαμαί σου διότι οὐκ ἀργυρίου καὶ χρυσίου θησαυροὺς προείλου κεκτῆσθαι μᾶλλον ἢ σοφίας. Ξε. — Ἠγάσθην αὐτοῦ εἰπόντος ταῦτα. Πλ. Ἄξιον ἄγασθαι τῶν γιγνομένων. Πλ. — Ἄγαμαι τὴν τούτου φύσιν. Πλ.*

A. 10. Eben so findet sich bei πυνθάνεσθαι fragen, erfahren, ἀποδέχεσθαι annehmen und mehreren Verben der Auffassung der persönliche Ge. vor einem Satze vgl. A. 8 (wie neben dem Ac., dem No. bei Passiven). *Ἐγὼ βούλομαί σου πυθέσθαι τί ποτε πράττων καλὸς κἀγαθὸς κέκλησαι. Ξε. Οὐκ ἀποδέχομαι ἐμαυτοῦ ὡς ἐπειδὰν ἑνί τις προσθῇ ἕν, δύο ἐγένετο. Πλ. Ἴσως οὐ μανθάνετέ μου ὅ, τι λέγω. Πλ. Οὐκ αἰσθάνομαί σου ὁποῖον νόμιμον λέγεις. Ξε. Νεώτερος ὢν καὶ ἀπειρότερος τούτων πρότερον ἄκουε τί λέγουσιν. Πλ. — (Πέπυσμαι ταῦτα τῶν σάφ' εἰδότων. Ἀρ. Ἠκροῶντο πολλοὶ αὐτοῦ ταῦτα. Ξε. Τούτων τοιούτους ἀκούω λόγους. Δη. — Τῶν κρατούντων ἐστὶ παντ' ἀκουστέα. Σο.)*

A. 11. Bei ἀκροᾶσθαι und ἀκούειν [poetisch κλύειν], selten συνιέναι und ἀποδέχεσθαι steht auch der Ge. der Person ohne von einem Satze oder einem Ac. veranlaßt zu sein. *Χρὴ μὴ μετὰ θορύβου καὶ χαλεπότητος ἀκροᾶσθαι τῶν ἀπολογουμένων. Ἰσ. Νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε. Μέ. Κακὸν ἄλλων ἀκούειν δοῦλον ὄντα τῶν πέλας. Εὐ. [Κρεῖσσον τῶν ἐναντίων κρατεῖν ἢ δοῦλον αὐτὸν ὄντα τῶν πέλας κλύειν. Σο.] (Ἕλληνες ὅσοι ἀλλήλων ξυνίεσαν ἐκλήθησαν. Θ. Πρᾴως ἀποδεχώμεθα ἀλλήλων. Πλ.)*

A. 12. Bei *ἀκούειν, ἀκροᾶσθαι, αἰσθάνεσθαι [συνιέναι, πυνθάνεσθαι]* kann der Ge. auch ein sachlicher Begriff sein, in sofern die Wirkungskraft des Objects zu bezeichnen ist, während der bloß percipirte Inhalt durch den Ac. ausgedrückt wird. *Ὅνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς. Γν. Βροντῆς ἀκούσας μηδαμῶς πόρρω φύγῃς. Φιλ. Τῆς Δημοσθένους ἀκούων κατηγορίας οὐκ ἔδεισα. Αἰ. Εὐνοϊκῶς ἀκροάσασθε τῶν λεγομένων. Δη. Ὅμιλος λόγου μιᾷ γνώμῃ οὐκ ἀκροᾶται. Θ. Φωνῆς ἀκούειν μοι δοκῶ. Ἀρ. Τούτων οὐδεὶς οὐδενὸς ὀσμῆς πώποτε ἤσθετό τινος. Πλ. [Λόγου συνήσειν ἔμελλεν. Πλ. Χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος ὢν πεύσει τάχα. Σο.] — Τὸ σοὶ δοκοῦν ἡδέως ἂν ἀκούοιμι. Πλ. Ἐμοὶ δοκοῦσιν ἄνθρωποι παντάπασι τὴν τοῦ Ἔρωτος δύναμιν οὐκ ἠσθῆσθαι. Πλ.*

A. 13. In Verbindung mit dem Particip finden sich mit dem Ge. nicht nur diese Verba (10 A. 10 ff. u.), sondern auch *μανθάνειν, γιγνώσκειν* u. a.: eine Art von absolutem Ge. *Τῶν ἀπολογουμένων ἀποδέχεσθε λεγόντων τὰς σφετέρας αὐτῶν ἀρετάς. Αν. Λέγοντος ἐμοῦ ἀκροάσονται οἱ νέοι. Πλ. Οὐδενὸς ἥδιον ἀκούω ἢ λόγου διεξιόντος ἀνδρῶν ἀρετάς. Ἰσ. Τὸ μανθάνειν ἥδιστον εὖ λέγοντος, εἰ κέρδος φέρει. Σο. Εὖ λέγοντος τοῦ Δελφικοῦ γράμματος οὐ ξυνίεμεν. Πλ. [Ἐπύθοντο τὴν Πύλου κατειλημμένην. Θ.] Οὐκ ᾐσθάνοντο τῶν πολεμίων*

προσιόντων. Ξε. Εἰ γιγνώσκεις ἐμοῦ φθεγγομένου, δήλωμά σοι γίγνεται παρ' ἐμοῦ. Πλ.

A. 14. Aehnlich wie bei ἀκούειν steht bei den Verben des Geruches der Ge. des Geruchstoffes; bei ὄζει (er und unpersönlich es riecht nach —) außer diesem auch der Ge. des Gegenstandes der den Geruch an sich hat; das eig. percipirte Object (wie ὀσμήν, ἡδύ, κακόν vgl. § 46, 5 A. 6) im Ac. Κρομμύων ὀσφραίνομαι. Ἀρ. Αὖται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος. Ἀρ. Ὄζει τῶν ἰχνῶν. Ξε. Τῆς κεφαλῆς ὄζω μύρου. Ἀρ.

11. Bei den Begriffen des Gedenkens und Vergessens, des Sorgens und Vernachlässigens steht der Ge. in sofern das Object die Thätigkeit in Anspruch nimmt. Προσήκει τοῦ συμφέροντος ἐνθυμεῖσθαι. Ἰσ. Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης. Γν. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν. Ἰσ. Ἐν πᾶσι τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν. Ἰσ. Τῶν αὐτῶν ἐστι τούς τε κακοὺς τιμᾶν καὶ τῶν ἀγαθῶν ἀμνημονεῖν. Αν. Τῶν νουθετικῶν λόγων ἐπιλαθόμενον οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι. Ξε. Ἡ τοῦ θεοῦ φρόνησις ἅμα πάντων ἐπιμελεῖται. Ξε. Τί ἡμῖν τῆς τῶν πολλῶν δόξης μέλει· τῶν ἐπιεικεστάτων μᾶλλον ἄξιον φροντίζειν. Πλ. Τῶν νόμων ἐντρέπου. Πλ. Ἑαυτοῦ κήδεται ὁ προνοῶν ἀδελφοῦ. Ξε. Ὁμοίως ἀγαθὸς πολίτης ἐστὶν ὃς ἂν καὶ τοῦ σώματός τι καὶ τῆς οὐσίας προνοῆται. Θ. Τοῖς σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν. Ἰσ. Οἱ ψόγου ἀφροντιστεῖν ἐθιζόμενοι οὐκ αἰσχύνονται αἰσχρόν τι ποιεῖν. Ξε. Μηδενὸς ὀλιγωρεῖτε μηδὲ καταφρονεῖτε τῶν προστεταγμένων. Ἰσ. Ueber περί § 68, 31 A. 2.

A. 1. Ἐνθυμεῖσθαι hat den Ge., wenn es auf etwas Rücksicht, Bedacht nehmen, den Ac. wenn es bedenken, erwägen bedeutet. Ἐνεθυμοῦντο τάς τε ἐν ταῖς μάχαις συμφορὰς καὶ τοῦ θεοῦ χρήσαντος. Θ.

A. 2. Auch die Verba des Erinnerns und Vergessens haben den Ac., meist der Sache (wie auch ἐνθυμεῖσθαι), in sofern das Object als Inhalt der Vorstellung zu denken ist. Ἆρ' οἷόν τε τὸν αὐτὸν τὸ αὐτὸ μεμνῆσθαι ἅμα καὶ μὴ εἰδέναι; Πλ. [Οὐ δεινοί ἐστε τοὺς ἀδικοῦντας μεμνῆσθαι. Δη.] Ἐὰν τὰ παρελθόντα μνημονεύῃς, ἔμεινον περὶ τῶν μελλόντων βουλεύσει. Ἰσ. — Οὐκ ἀμνημονεῖ τὰς ὑποσχέσεις. Δη. Τὰς τύχας τὰς κακὰς ἐπελάθοντο, τὰς δὲ μὴ κακὰς ἔσωζον. Εὐ.

A. 3. Demnach haben die Activa (ἀνα-, ὑπομιμνήσκειν) doppelte Construction: τινά τινος und τινά τι. Μὴ μ' ἀναμνήσῃς κακῶν. Εὐ. Ἀναμνήσω ὑμᾶς τοὺς τῶν προγόνων κινδύνους. Ξε. Βούλομαι ὀλίγα ἑκατέρους ἀναμνήσας καταβαίνειν. Αν. — Ἀναγκαῖον ὑπολαμβάνω μικρὰ τῶν γεγενημένων ὑμᾶς ὑπομνῆσαι. Δη. Γεγονὸς πρᾶγμα ὑμᾶς ὑπομνήσω. Δη.

A. 4. Auch bei diesen Verben erscheinen Accusative wie τι, οὐδέν,

μικρόν, πολλά vgl. § 46, 5 A. 9. *Σὺ μνημονεύεις οὐδὲν ων ἐχρῆν φίλου. Εὐ. Μέλει τι τῶν ἀνθρωπίνων τοῖς θεοῖς πραγμάτων. Ἰσ. Πολλοὶ νομίζουσι τοὺς θεοὺς φροντίζειν οὐδὲν τῶν ἀνθρωπίνων. Πλ. Οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου. Ξε. Πολλὰ τῶν παρεληλυθότων πόνων ἐμνημόνευον. Ξε.*

(A. 5. *Μέλειν* findet ſich zuweilen auch mit dem Nominativ. *Ἑορταὶ πᾶσι μέλουσιν. Πλ.*)

A. 6. Wie *μέλει* ſo hat auch *μεταμέλει* den Ge. *Τῇ πόλει πολλάκις ἤδη μετεμέλησε τῶν χρίσεων. Ἰσ.*

12. Gleichfalls poſſeſſiv ſteht der Ge. bei Begriffen die ein Berühren oder das Gegentheil bezeichnen, in eigentlicher wie in uneigentlicher Bedeutung. So zunächſt bei Verben die ein Anfaſſen, Anſchließen, Anhalten bezeichnen, beſonders bei vielen Medien. *Ἤθους δικαίου φαῦλος οὐ ψαύει λόγος. Μέ. Πυρὸς ἔστι θιγόντα μὴ εὐθὺς καίεσθαι, ὅμως δὲ ἔγωγε οὔτε πυρὸς οὔτε ἔρωτος ἑκὼν εἶναι ἅπτομαι. Ξε. Διεκελεύοντο ἀνθάπτεσθαι τῶν πραγμάτων. Θ. Τὸ ποιητικὸν γένος πολλῶν τῶν κατ' ἀλήθειαν γιγνομένων ἐφάπτεται. Πλ. Ἐλάβετο τῆς χειρὸς αὐτοῦ. Ξε. Ἕως ἐστὶ καιρός, ἀντιλάβεσθε τῶν πραγμάτων. Δη. Πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένη δημοσίας ἀπεργάζεται συμφοράς. Αἰ. Νόμων ἔχεσθαι πάντα δεῖ τὸν σώφρονα. Μέ. Οἱ ἀγαθοὶ τοὺς κακοὺς ἰδόντες ἀτιμασθέντας εὐθυμότερον τῆς ἀρετῆς ἀνθέξονται. Ξε. (Ἄγει τῆς ἡνίας τὸν ἵππον. Ξε. Τοὺς γλιχομένους τοῦ ζῆν κατασπᾷ τοῦ σκέλους ἄγοντας ὁ Χάρων ἐπὶ τὸ πορθμεῖόν τ' ἄγει. Γν.)*

A. Hieher gehört auch *πειρᾶσθαί τινος*; dagegen *πειρᾶν γυναῖκα*, wiewohl *πειρᾶν* auch mit dem Ge. örtlicher Begriffe für *πειρᾶσθαι* gebraucht wird. *Ἔργῳ ἐπειρῶντο τοῦ τείχους. Θ. Οὕτως ἄριστον μὴ πεπειρᾶσθαι καλῶν. Εὐ. Ἐπείρασαν τοῦ χωρίου. Θ. Τὰς καλὰς οὐ πειρᾶν δεῖ. Ξε.*

13. So ferner bei den entgegengeſetzten Begriffen der Sonderung und Entfernung, des Abhaltens, Löſens und Loslaſſens, der Befreiung und des Entziehens. *Ἡ νῆσος οὐ πολὺ διέχει τῆς ἠπείρου. Θ. Πᾶσα ἐπιστήμη χωριζομένη ἀρετῆς πανουργία. Πλ. Ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι τέκνον. Αἰσ. — Λῦσόν με δεσμῶν. Εὐ. Ἔχει τοὺς πολεμίους τῆς εἰς τὸ πρόσθεν προόδου. Ξε. Τούτους τῆς ἄγαν κολακείας ἐπισχήσετε. Δη. Ἑλληνικοῦ πολέμου ἔσχον οἱ Ἀθηναῖοι. Θ. Ἐπέσχον τῆς τειχίσεως. Ξε. — Σὺ οὐκ ἀνίης μωρίας. Εὐ. Τῶν ἀναγκαίων γυμνασίων μεθίενται. Πλ. Οἱ ταῦροι ἐκιεμνόμενοι τοῦ μὲν μέγα φρονεῖν καὶ ἀπειθεῖν ὑφίενται, τοῦ δὲ ἰσχύειν καὶ ἐργάζεσθαι οὐ στερίσκονται. Ξε. — Θησεὺς τὰς Ἀθήνας δεινοῦ προστάγματος ἠλευθέρωσεν. Ἰσ. Εἴ τις περιέλοιτο τῆς ποιήσεως τὸ μέτρον, λόγοι γίγνονται τὸ περιλειπόμενον. Πλ. Ἀναξίβιος*

τῶν Αἰολίδων πόλεων παρεσπᾶτό τινας τοῦ Φαρναβάζου. Ξε. — Ἔνδηλα πάντα ἐστὶν ἐν τῇ ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος. Πλ. (Ἐψιλοῦτο ὁ λόφος τῶν ἱππέων. Ξε.) Βούλου ἁμαρτημάτων τὴν ψυχὴν ὡς δυνατὸν καθαρεύειν. Στ.

A. 1. Hieher gehören viele mit *ἀπό* zuſammengeſetzte Verba. *Τὰ μαθήματα ἀποτρέπει τοὺς νέους πολλῶν ἁμαρτημάτων. Ἰσ. Τὸ ἀποστῆναι χαλεπὸν φύσεως ἣν ἔχει τις ἀεί. Ἀρ. Ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός. Αἰσ. Ἀπέχει σταδίους μάλιστα ἡ Πύλος τῆς Σπάρτης τετρακοσίους. Θ. Ἀνὴρ φιλότιμος ἐθέλει αἰσχρῶν κερδῶν ἀπέχεσθαι. Ξε. Ἀφήκατ' αὐτὸν πάντων τῶν ἐγκλημάτων. Δη. Οὐδεὶς πώποτε ἑκὼν εἶναι τυραννίδος ἀφεῖτο. Ξε. Δοῦλος ὢν φοβεῖ τὸν Ἅιδην, ὃς σ' ἀπαλλάξει κακῶν; Εὐ. Κακίας ψυχῆς ἀπαλλάττεται ὃ δίκην διδούς. Πλ.*

A. 2. Die Activa *ἅπτειν, λαμβάνειν, ἔχειν* (haben; halten), *μεθιέναι* erfordern den Ac. So auch *ἀνιέναι* aufgeben und *ἐπέχειν* einſtellen (hemmen). *Ἀρχὴν δεδομένην οὐκ ἀνεῖμεν. Θ. Τὴν κατασκαφὴν ἐπέσχον. Θ.*

A. 3. Manche der hieher (R. 13 u. A. 1) gehörigen Verba werden auch mit *ἀπό* verbunden. So *διέχειν, χωρίζειν, εἴργειν, ἀπέχειν, ἀφίστασθαι* abfallen, z. B. (*ἀπὸ*) *βασιλέως. Ἐλευθεροῦν* mit einem perſönlichen Object hat gew. *ἀπό* mit dem Ge.; doch *τοῦ μουνάρχου* Her. 5, 46, *τυράννων* 62.

A. 4. Zu den Verben R. 13 gehört wohl auch *φείδεσθαι. Τοῦ ἀκολουθεῖν ὅποι ἄν τις παρακαλῇ φείσεσθε. Ξε. Πολλοὶ χρημάτων δυνάμενοι φείδεσθαι πρὶν ἐρᾶν ἐρασθέντες οὐκ ἔτι δύνανται. Ξε. Τῶν σωμάτων ἀφειδήσαντες ἔστησαν τρόπαια. Αν.*

A. 5. An eben dieſe Verba R. 13 ſchließen ſich ferner die des Hinderns, Weichens und Zurückbleibens an. *Οἱ Θετταλοὶ ἐκώλυον τὸν Ἀγησίλαον τῆς παρόδου. Ξε. Παρὰ πᾶσιν ἀνθρώποις νομίζεται καὶ ὁδοῦ παραχωρῆσαι τὸν νεώτερον τῷ πρεσβυτέρῳ καὶ λόγων ὑπεῖξαι. Ξε. Εἶπον τοῦ κήρυκος μὴ λείπεσθαι. Θ. Οἱ ἐν ταῖς μοναρχίαις ὄντες οὐκ ἀπολείπονται τῶν καιρῶν. Ἰσ.*

A. 6. Verwandt ſind nicht minder die Begriffe der Verſchiedenheit. *Οὐκ ἔλαττον διέστηκεν ἡ τῶν ἐλευθέρων ἀρχὴ τῆς τῶν δούλων ἢ αὖ τὸ φύσει ἐλεύθερον τοῦ φύσει δούλου. Ἀρλ. Πολὺ διαφέρειν οὐ δεῖ νομίζειν ἄνθρωπον ἀνθρώπου. Θ. Χρὴ προσέχειν τὸν νοῦν ὅπως ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. Ἰσ.*

A. 7. Aehnlich ſind auch die Begriffe des Abſetzens und Endigens; bei denen des Anfangens iſt der Ge. mehr relativ. *Εἰ καταλύειν πειράσεσθε τοῦτον τῆς ἀρχῆς, ἐμποδὼν ἀλλήλοις πολλῶν καὶ ἀγαθῶν ἔσεσθε. Ξε. Οἱ Ἀθηναῖοι τὸν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς. Θ. Ἔπαυσαν Τιμόθεον τῆς στρατηγίας. Ξε. Πολὺ μεῖζόν με ἀγαθὸν ἐργάσει ἀμαθίας παύσας τὴν ψυχὴν ἢ νόσου τὸ σῶμα. [Πλ.] Μαχεσθε καὶ παύεσθε τῆς μοχθηρίας. Ἀρ. Λῆγε τῶν πόνων ἔτι πονεῖν δυνάμενος. Ἰσ. Λωφᾷ τῆς ὀδύνης καὶ γέγηθεν. Πλ. Οἵδε τῆς ὀργῆς χαλᾶν εἴξασιν. Ἀρ. Χαλεπώτατον λόγου τελευτᾶν. Θ. Ἄρχειν μηδενὸς μήτε λόγου μήτε ἔργου ἀδίκου κελεύω. Δη. Πειρᾶσθε σὺν τοῖς θεοῖς ἄρχεσθαι παντὸς*

ἔργου. Ξε. Παρὰ πᾶσιν ἀνθρώποις νομίζεται τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ ἔργου καὶ λόγου. Ξε.

[A. 8. Analog dem Ac. des Inhaltes vgl. § 46, 6 A. 2 finden sich auch Ausdrücke wie *κατάρχειν λόγον* Pl. Euthyd. 283, a, *κατάρχεσθαι νόμου* Eu. Hek. 684, *ὑπάρχειν εὐεργεσίαν* Aesch. 2, 26, *ἐξάρχειν παιᾶνα* Xen. öfter. Daneben *προϋπάρχειν τῷ ποιεῖν εὖ* Dem. 20, 46 vgl. Thuc. 2, 67.]

A. 9. *Ἄρχεσθαι ἀπό* oder *ἔκ τινος* heißt mit etwas oder Jemand den Anfang machen, incipere ab —. Entsprechend sagte man *ἄρχεσθαι ἐνιεῦθεν, ἐνθένδε, πόθεν, (ἄλλοθεν) ποθέν, ὅθεν, ὁπόθεν* (inde, unde). *Ἀπὸ τῶν ὁμολογουμένων ὑφ' ἁπάντων ἄρξομαι διδάσκειν. Δη. Πόθεν χρὴ ἄρξασθαι τῆς ἀπολογίας; πότερον ἐκ τῶν τελευταίων λόγων; Ἀνδ. Μικρὸν ἄνωθεν ἄρξομαι διδάσκειν ὑμᾶς. Αἰ.*

A. 10. Bei den Verben des Beraubens steht (neben dem Ac. der Person beim Activ) das sachliche Object, das auch eine Person sein kann, im Ac., in sofern es bloß als Inhalt der Handlung (das Entziehen) dargestellt wird; der Ge. in sofern es als dem persönlichen Object (oder Subject beim Passiv) als eigenthümlich zukommend gedacht wird (Anrecht, Anspruch), welche Construction daher bei *στερίσκειν, ἀποστερεῖν, στέρεσθαι* ihrer Bedeutung gemäß vorherrschend ist. *Τὴν θεὸν τοὺς στεφάνους σεσυλήκασιν. Δη. Τὸ ἥμισυ τῆς κατηγορίας ἐμαυτὸν ἀπεστέρησα. Ἀντ. Πόσων ἀπεστέρησθε; οὐχὶ Φωκέας; οὐ Πύλας; Δη. Τὰ στερόμενα τῆς αὐτῶν ἀρετῆς κακῶς τὸ αὐτῶν ἔργον ἐργάσεται. Πλ. Τὸν ἀποστεροῦντα τοὺς δεσπότας ἑαυτοῦ κολάζεις. Ξε.* [*Ἄλλου αὐτὸν ἀποστερῶν ἀσφαλείας δεῖται. Θ.*]

A. 11. Der Bedeutung des Wortes gemäß sagte man gewöhnlich *ἀφαιρεῖσθαί τινά τι*; daneben aber auch *τινός τι* [selten *τινά τινος*]. *Τοὺς δασμοφόρους τὰ ὅπλα ἀφῃρήμεθα. Ξε. Οἱ πλεονέκται τῶν ἄλλων ἀφαιροῦνται χρήματα. Ξε.* [*Τῆς δωρεᾶς ἀφῃρέθη. Δη.*]

14. Wie die Verba der Berührung haben den Ge. auch *στοχάζεσθαι* zielen, *ἐξ-* und *ἐφικνεῖσθαι* erreichen, *τυγχάνειν* treffen [poet. *κυρεῖν*], *ἁμαρτάνειν* verfehlen; eben so auch in der uneigentlichen Bedeutung; und mit ihnen die sinnverwandten die ein Streben, Erlangen oder das Gegentheil bedeuten. *Δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν στοχάσασθαι διανοίας. Ἰσ. Τί τῆς κακίστης δαιμόνων ἐφίεσαι, φιλοτιμίας; Εὐ. Ἡ ὀλιγαρχία φιλαρχία τίς ἐστιν ἰσχυρῶς κράτους γλιχομένη. Θε. Οἷς μάλιστα τὰ παρόντα ἀρκεῖ ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται. Ξε. Ἡ ἐπιστήμη τῆς ἀληθείας ἀντέχεται. Πλ. Πρέπει τοὺς παιδείας ἀντιποιουμένους τῶν σπουδαίων εἶναι μιμητάς. Ἰσ. Κατορθοῦντες τῆς ξυνέσεως μεταποιοῦνται. Θ. Τῶν μαθημάτων πάλαι ἐπιθυμῶ. Ξε. Τοῦ ζῆν οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ. Σο. Πεινῶσι τοῦ ἐπαίνου οὐχ ἧττον ἔνιαι τῶν φύσεων ἢ ἄλλαι τῶν σίτων καὶ ποτῶν. Ξε. Δημοκρατουμένη πόλις ἐλευθερίας διψήσασα τοὺς ἄρχοντας κολάζει. Πλ. Προσήκει τοῖς ἀμφισβητοῦ-*

σιν ἀρετῆς εὐθὺς ἀπὸ γενεᾶς διαφέροντας εἶναι τῶν ἄλλων. Ἰσ.

Δικαιότατον μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν. Ἰσ. [Εἴ τις κυρεῖ γυναικὸς ἐσθλῆς εὐτυχεῖ κακὸν λαβών. Εὐ.] Αἱ διὰ χαρτερίας ἐπιμέλειαι τῶν καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν. Ξε. Μετρίων ἐν εἰρήνῃ τις καὶ πολιτείᾳ δύναιτ' ἂν ἐφικέσθαι, εὐνοίας, δικαιοσύνης, ἐπιμελείας. Δη. Τοῦ ἀσφαλοῦς ἀντελάβοντο. Θ. Ἐπελάβοντο χωρίων χαλεπῶν. Ξε. Τιμῆς τῆς προσηκούσης παρ' ἑκάστῳ τῶν χρωμένων λαγχάνει. Πλ. Πρέπει τοὺς παῖδας τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. Ἰσ.

Γυνὴ ἀνδρὸς ἁμαρτάνουσ' ἁμαρτάνει βίου. Εὐ. Πάντες ἀποτυγχάνουσι τοῦ δοκεῖν εἶναι δίκαιοι. Πλ. Τῶν δικαίων οὐδενὸς ἀτυχήσεις. Ξε. Σφαλεὶς τῆς ἀληθείας κείσομαι περὶ ἃ ἥκιστα δεῖ σφάλλεσθαι. Πλ. Τὸ ἐψεῦσθαι τῆς ἀληθείας κακόν. Πλ.

A. 1. Die dem τυγχάνειν treffen ähnlichen Begriffe ἀκοντίζειν, βάλλειν verbinden die Proſaiker mit Präpoſitionen, wie ἀκοντίζειν εἰς τοὺς ναύτας, βάλλειν ἐπὶ τὸν σκοπόν, oder in ſofern die Verletzung zu bezeichnen iſt, mit dem Ac., wie τοξεύειν θηρίον. [Σκοπὸν ἀκοντίζειν Ant. 3, γ, 6.]

A. 2. Ἐν- und συντυγχάνειν, παρα- und περιτυγχάνειν haben den Dativ; meiſt auch ἐπιτυγχάνειν, das jedoch an einigen Stellen auch mit dem Ge. vorkommt, in ſofern ein Intereſſe zu bezeichnen iſt (nanciscor). Ἐπιλήσμονι ἐνέτυχες. Πλ. Αἰδοῦς ἐνεπίμπλατο ὥστε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις. Ξε. Χαλεπὸν μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν. Ξε. Ποιεῖν τὸ παρατυγχάνον ἀεὶ αὐτῷ δεῖ. Ξε. Τὸ μὴ ζητοῦντα ἐπιτυχεῖν τινι τῶν δεόντων εὐτυχίαν οἶμαι εἶναι. Ξε. Γυναικὸς ἀγαθῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον. Γν. [Ἐμοῦ κολαστοῦ προσέτυχεν. Σο. Συνέτυχον κακῶν ἀνδρῶν Ἀτρειδῶν. Σο.]

(A. 3. Selten und mehr dichteriſch wird τυγχάνειν mit dem Ac. verbunden, z. B. τάδε Eur. Phön. 1666 vgl. Lex. Soph. u. d. W.; nicht häufig mit einem doppelten Ge. Ueber den Prädicatsgenitiv vgl. § 57, 3 A. 1. 3. 5. Οἱ κυβευταὶ ἐὰν ἕν τι ἐπιτύχωσι, περὶ διπλασίων κυβεύουσιν. Ξε. Τὰς μετρίας ἐπιθυμίας ἐν ὀλίγοις ἐπιτεύξῃ. Πλ. Ἐλάχιστα μὲν ἀποτετυχήκατε, πλεῖστα δὲ κακωρθώκατε. Ξε. — Ἀξιῶ ὑμῶν ξυγγνώμης τυγχάνειν. Θ.)

A. 4. Bei λαγχάνειν (er- und zuloſen) ſteht oft der Ac., z. B. eines Geſchäftes, Amtes, Rechtshandels. Ὁ δαίμων ὃ τὴν ἡμετέραν μοῖραν εἰληχὼς ἀπαραίτητος. Αν. Τοὺς ἀτίμους οὐκ ἐᾷ ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας. Γν. Χρὴ μηδενὶ λαχεῖν δίκην. Πλ.

A. 5. Bei den übrigen Verben des Strebens ꝛc. findet ſich zuweilen neben dem Ge. das ſubſtantivirte Neutrum eines Pronominaladjectivs im Ac. So auch ἁμαρτάνειν τι, ἔργον ꝛc. begehen, ſündigen. Ὁ ἐρῶν τῶν ἀγαθῶν τι ἐρᾷ; Γενέσθαι αὐτῷ. Πλ. Διεφθείροντο μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι. Θ. Καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν. Γν. Τὸ πολλὰ τολμᾶν πολλ' ἁμαρτάνειν ποιεῖ. Γν. (Τὸ παρανόμημά σφισι πρότερον ἥμαρτητο. Θ.)

A. 6. *Φιλεῖν*, das nicht wie *ἐρᾶν* den Begriff des Trachtens, Begehrens enthält, erfordert den Ac. wie auch *ποθεῖν*, beide bloß Bezeichnungen des Gefühls.

IV. Der Genitiv bei Verben des Antheils und Genusses, des Mangels und der Fülle.

15. Wie die Begriffe des Erlangens haben den Ge. auch die des Antheils und Genusses (material). *Προσήκει τῆς σοφίας μεταλαγχάνειν. Πλ. Τὸ ἀνθρώπινον γένος μετείληφεν ἀθανασίας. Πλ. Ἀνθρώπου ψυχὴ τοῦ θείου μετέχει. Ξε. Ἐν ὀλιγαρχίᾳ πένησιν οὐ μέτεστι συγγνώμης. Πλ. Δι' ἑρμηνείας πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες καὶ κοινωνοῦμεν. Ξε. (Σωκράτης ἀφθόνως ἐπήρκει τῶν ἑαυτοῦ. Ξε. Ἡμῖν τοῦ ὀλίγου ἀξίου γέλωτος ἐπιδαψιλεύῃ. Ξε.) Πάντες κεκοινωνηκατε τῆς φιλοσόφου μανίας. Πλ. Συλλήψομαί γε τοῦδέ σοι κἀγὼ πόνου. Εὐ. Ὀλιγαρχία τῶν ὠφελίμων πλεονεκτεῖ. Θ. Μειονεκτεῖ ὁ τύραννος τῶν εὐφροσυνῶν. Ξε. Ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς προσήκει ἀρετῆς. Ξε. Τῶν λόγων ὑμᾶς Λυσίας εἵστία. Πλ. Ἐπιτηδεύματά ἐσθ' ὑμῖν γενόντα τῶν ἡδονῶν. Πλ. Εὐωχοῦ τοῦ λόγου. Πλ. Ὅστις οὐκ εἴωθε γεύεσθαι πόνων φέρει μὲν ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ. Εὐ. Οἱ ἀπολαύοντες τῶν σῶν ἀγαθῶν εὔνοί σοι γίγνονται. Ξε.*

A. 1. Der Ac. steht bei diesen Verben, bei *μέτεστι* und *προσήκει* der No., wenn nicht blos ein Antheil, sondern das ganze Object zu denken ist, wo denn auch beide Casus verbunden vorkommen. *Τὸ πέμπτον μέρος οὐ μετείληφε τῶν ψήφων. Δι. Εἰ πόλεμος μέγα κακόν, τούτου πλεῖστον μέρος οἱ τυραννοι μετέχουσιν. Ξε. — Νοῦ ἀνθρώπων γένος βραχύ τι μετέχει. Πλ. Αἰδῶς σωφροσύνης πλεῖστον μετέχει. Θ. Ἐν δημοκρατίᾳ μέτεστι πᾶσι τὸ ἴσον. Θ. (Λογίζεσθαι ὀλίγοις τισὶ μέτεστιν. Πλ.) — Κρέα εὐωχοῦ. Ξε. Εἰκὸς τοῦ βίου τι ἀπολαῦσαι. Θ. Ἀπολαύουσί τι οἱ πολῖται ἀλλήλων ἀγαθόν. Ξε. Ὁ δεσπότης ἀπολαύει πάντα. Ἀρ.*

[A. 2. *Εὐωχεῖν ἰχθύσιν* sagt Plat. Rep. 404, *ἐσθιᾶσθαι εὐωδίᾳ* Xen. Symp. 2, 4. *Ἀπολαύειν ἀνάγκη ἀπὸ τῶν ἀλλοτρίων εἰς τὰ οἰκεῖα. Πλ.*]

A. 3. Ueberhaupt findet sich bei Verben die, wenn das ganze Object zu denken ist, den Ac. erfordern der Ge. (mit dem Artikel), in sofern ein unbestimmter Theil eines Ganzen zu denken ist (*τὶ, τινάς*, aber nicht *τινά* im Singular). *Ἄφησι τῶν αἰχμαλώτων. Ξε. Ἔλαβε τοῦ βαρβαρικοῦ στρατοῦ. Ξε. Τῆς γῆς ἔτεμον. Θ. Ἡ ἐπίκλυσις παρεῖλε τοῦ φρουρίου. Θ. Ἤν τι κλέψωσι, τῶν ἑαυτῶν κλέψονται. Ξε.*

(A. 4. Wenn ein einzelnes Individuum zu denken ist, muß dem Ge. *εἷς, τὶς* oder ein ähnliches Wort beigefügt werden.)

[A. 5. Selten tritt ein solcher Ge. für das Subject ein. *Ἦσαν Ἄνδριοι καὶ Αἰγινητῶν τῶν ἐποίκων. Θ.* Vgl. Xen. Hell. 4, 2, 21. Cyr. 7, 4, 3, An. 3, 5, 16 u. Schneider zu Plat. Rep. 382, c.]

(A. 6. Hieher gehört auch die Redensart *κατεαγέναι* und *συντρίβειν τῆς κεφαλῆς*, neben *τὴν κεφαλήν*. *Τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσών.* Ἀρ. *Ἠτιῶντο τὸν Κρατῖνον συντρῖψαι τῆς κεφαλῆς αὐτῆς.* Ἰσ. *Συνετρίβη τῆς κεφαλῆς καταῤῥυείς.* Ἀρ. — *Οὐδεὶς κατεάγη τὴν κεφαλήν.* Αν. *Συντριβόμεθα τὰς κεφαλὰς ἅπαντες.* Αν.)

16. Eben so steht der Ge. bei den (gegensätzlichen) Begriffen des Bedürfens und des Mangels so wie bei denen der Fülle (material). *Φρονήσεως δεῖ πολλῆς πρὸς τοὺς πλείους.* Ξε. *Πολλῶν καλῶν δεῖ τῷ καλῶς τιμωμένῳ.* Σο. *Τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν δεήσει πολλῶν γραμμάτων.* Ἰσ. *Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.* Γν. *Τὰ τῶν ἱκανῶν ἐλλείποντα ὀλίγα ἐστίν.* Ξε. *Ἀρετῆς λειπόμενα πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα αἰσχρά.* Πλ. *Οἱ τύραννοι ἐπαίνου οὔποτε σπανίζετε.* Ξε. *Οὐκ ἂν ἀποροῖ παραδειγμάτων.* Πλ. *Ἠπόρουν πολλαῖς ναυσὶ τῆς τροφῆς.* Θ. *Ἔρως ἡμᾶς ἀλλοτριότητος μὲν κενοῖ, οἰκειότητος δὲ πληροῖ.* Πλ. *Δεῖ τοὺς ὀρθῶς πολιτευομένους οὐ τὰς στοὰς ἐμπιπλάναι τῶν γραμμάτων, ἀλλ' ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον.* Ἰσ. *Μὴ πίμπλασθε τῶν περὶ τὸ σῶμα καλουμένων ἡδονῶν.* Πλ. *Σεσαγμένος πλούτου τὴν ψυχὴν ἔσομαι.* Ξε. *Μυρίων ἐναντιωμάτων ἡ ψυχὴ γέμει ἡμῶν.* Πλ. *Ἐγέμισε τὴν ναῦν ξύλων.* Δη. *Φίλιππος χρημάτων εὐπόρει.* Δη. *Ἐν πόλει εὖ οἰκουμένῃ ἄρξουσιν οἱ τῷ ὄντι πλούσιοι, οὐ χρυσίου, ἀλλ' οὗ δεῖ τὸν εὐδαίμονα πλουτεῖν, ζωῆς ἀγαθῆς τε καὶ ἔμφρονος.* Πλ. *Ζήνων ἔλεγεν οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι ὡς χρόνου.* Στ.

A. 1. *Δεῖ* es fehlt, bedarf wird nicht persönlich gebraucht. [In dem Verse *οὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων* Eur. Phön. 470 ist *τὰ ἔνδικα* Ac.: eine poetische Construction vgl. Porson zu Eur. Or. 659.]

A. 2. Persönlich gebraucht heißt *δέω* ich ermangele und beschränkt sich auf die Verbindung mit dem Ge. numerischer Begriffe wie der Zahlen § 24, 2 A. 9, mit *πολλοῦ, ὀλίγου, μικροῦ, τοσούτου* ich bin weit entfernt ꝛc. [auch *τοσοῦτον* vgl. Buttm. zu Plat. Men. 71 a]. *Οὐ πολλοῦ δέω χάριν ἔχειν τῷ κατηγόρῳ.* Αν. *Τῆς παιδείας τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης τοσούτου δέω καταφρονεῖν ὥστε καὶ τὴν ἐφ' ἡμῶν κατασταθεῖσαν ἐπαινῶ.* Ἰσ. *Οἱ Λακεδαιμόνιοι τῶν Ἑλλήνων ἐγένοντο προστάται τριάκοντα ἐνὸς δέοντα ἔτη.* Δη.

A. 3. Eben so aber sagte man auch *πολλοῦ, ὀλίγου, μικροῦ δεῖ* es fehlt viel. *Πολλοῦ δεῖ τὰ φαινόμενα ἑκάστῳ ταῦτα καὶ εἶναι.* Πλ. *Παντὸς δεῖ τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον εἶναι.* Πλ.

[A. 4. Demosthenisch ist die Formel *οὐδὲ πολλοῦ δεῖ* nicht einmal viel gefehlt, sondern Alles, d. h. auch nicht im entferntesten, durch die meist eine vorhergehende Negation epanaleptisch urgirt wird. *Οὐ δὴ Κίνων πιστός ἐστιν, οὐδὲ πολλοῦ δεῖ.* Δη.]

[A. 5. Ungefähr in derselben Bedeutung gebraucht Demosthenes den entgegengesetzten Ausdruck *οὐδ' ὀλίγου δεῖ* nicht einmal wenig ge-

fehlt, nicht einmal beinahe, *οὐδ' ἐγγύς. Οὐδὲ τοὺς χρόνους ἴσον ἐστ' ἀδίκημα ὀλιγαρχίας ἢ τυράννου παρελέσθαι, οὐδ' ὀλίγου δεῖ. Δη.*]

(A. 6. Auch *ὀλίγου* und *μικροῦ* allein heißen beinahe, wozu man gewöhnlich, vielleicht mit Unrecht, *δεῖν* ergänzt. *Ἐν ταῖς ὀλιγαρχουμέναις πόλεσι πτωχοὺς ὁρᾷς ὀλίγου πάντας. Πλ. Μικροῦ γε ἃ μάλιστα μ' ἔδει πρὸς ὑμᾶς εἰπεῖν παρῆλθον. Δη.*)

A. 7. Den Ge. der Person hat auch *δεῖσθαι* bitten; in beiden Bedeutungen den Ac. der Sache nach 46, 5 u. A. 4. *Δεήσομαι ὑμῶν μετρίαν δέησιν. Αἰσχ. Ταῦτ' ἔστιν ἃ ἐγὼ ὑμῶν δέομαι. Ξε.* [*Νῦν ἐμοὶ χάρισαι ὧν ἂν δεηθῶ σου. Ξε. Ἐδέοντο Κύρου ἄλλος ἄλλης πράξεως. Ξε.*]

(A. 8. Material findet sich der Ge. auch bei *μεθύσκεσθαι* und *ῥεῖν* [bei *ῥεῖν* auch der Da. u. Ac. vgl. Lobeck zu So. Aj. 40 p. 95]. *Ἐμεθύσθη τοῦ νέκταρος. Πλ. Ἡ πηγὴ ῥεῖ μάλα ψυχροῦ ὕδατος. Πλ.*)

V. Der Genitiv des Preises, Maaßes, Bezuges, der Beschuldigung und bei Compositen.

17. Dem Ge. des Betrages bei Substantiven (§ 47, 8 A. 1) entspricht der Ge. des Preises bei den Verben des Werthes und der Schätzung, des Kaufes und Verkaufes u. ä. *Οἱ βάρβαροι Θεμιστοκλέα τῶν μεγίστων ἠξίωσαν. Ἰσ. Οὐδὲν ἀνισώτερον τοῦ τῶν ἴσων τόν τε κακὸν καὶ τὸν ἀγαθὸν ἀξιοῦσθαι. Ξε. Προεῖπον ἐξάγειν σῖτον, τάξαντες ἀργυρίου πολλοῦ. Θ. Οἱ Ἀθηναῖοι Περικλέα ὀλίγου θανάτου ἐτίμησαν. Πλ. Οἱ ἀγαθοὶ οἰκονόμοι, ὅταν τὸ πολλοῦ ἄξιον μικροῦ ἐξῇ πρίασθαι, τότε φασὶ δεῖν ὠνεῖσθαι. Ξε. Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί. Γν. Χρυσᾶ χαλκείων* (prof. *χαλκῶν*) *διαμείβεσθαι νοεῖς. Πλ.*

[A. 1. Dieser Ge. findet sich auch bei *γίγνεσθαι* zu stehen kommen und *εἶναι. Οἱ ἐξειργασμένοι ἀγροὶ πολλοῦ ἀργυρίου γίγνονται. Ξε. Τριῶν δραχμῶν πονηρός ἐστι. Δη.*]

[A. 2. Für das seltene *πολλοῦ τιμᾶσθαι* (Plat. Symp. 175, Dem. 19, 159), *ποιεῖσθαι* (Pl. Prot. 328) ist üblicher *περὶ πολλοῦ π.* (eig. über). S. § 68, 31 A. 5]

A 3. Nicht selten erscheint dieser Ge. auch bei andern Verben. So am häufigsten *μισθοῦ* für Sold. *Οἱ τύραννοι μισθοῦ φύλακας ἔχουσιν, ὥσπερ θεριστάς. Ξε. Κέκρισθε μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλλήνων προέσθαι. Δη. Πόσου διδάσκει; Πέντε μνῶν. Πλ. Προπέποται τῆς παραυτίκα χάριτος τὰ τῆς πόλεως πράγματα. Δη.*

(A. 4. Auch die verkäufliche Sache steht im Ge. bei *διδόναι* u. ä. W., z. B. *εὐνοίας* für Wohlwollen. *Οὐκ ἂν ἔτι δοίην τῶν θεῶν τριώβολον. Ἀρ. Ἀπάγου τοὺς παῖδας μηδὲν αὐτῶν καταθείς.*)

18. Maaßbestimmend ist der Ge. bei den (comparativen) Verben der Superiorität und Inferiorität: com-

parativer Ge., nicht zu verwechseln mit dem R. 15 erwähnten. Ὁ ἄδικος ἀξιοῖ τοῦ δικαίου πλεονεκτεῖν καὶ τῆς δικαίας πράξεως, ὅς γε πάντων πλέον ἔχειν ἀξιοῖ. Πλ. Οἱ τύραννοι τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσι τῶν ἰδιωτῶν. Ξε. Μηδὲν ἐλασσοῦ τοῦ ἀληθοῦς μηδὲ μειοῦ τὰ τῶν πολεμίων. Ξε. Σωκράτης θύων μικρὰ οὐδὲν ἡγεῖτο μειοῦσθαι τῶν μεγάλα θυόντων. Ξε. Παυσανίας ὑστέρησεν ἐς Ἀλίαρτον τοῦ Λυσάνδρου. Ξε. Οἱ ἐν ταῖς δημοκρατίαις ὑστερίζουσι τῶν πραγμάτων. Ἰσ.

19. Hieran schließt sich der Ge. bei mehreren Verben die ein Uebertreffen, Ueberwinden und Nachstehen bezeichnen. Ἄρχοντι προσήκει καρτερίᾳ τῶν ἰδιωτῶν περιεῖναι. Ξε. Ἡ ἀρετὴ τοῦ πλήθους περιγίγνεται. Ἰσ. Ἄνθρωπος ξυνέσει ὑπερέχει τῶν ἄλλων. Πλ. Οἱ Ἀθηναῖοι ἐμπειρίᾳ πολὺ τῶν ἄλλων προεῖχον περὶ τὰ ναυτικά. Ξε. Εἴ τίς τι ἕτερος ἑτέρου προφέρει ἢ ἐπιστήμῃ ἢ εὐψυχίᾳ ἀποδειξάμενος ὠφέλιμος ἂν γένοιτο. Θ. Ἑρμοκράτης ξύνεσιν οὐδενὸς ἐλείπετο. Θ.

A. 1. Dreifache Construction haben ἡσσᾶσθαι und νικᾶσθαι: τινί, τινός und ὑπό τινος. Ὁμοίως αἰσχρὸν εἶναι νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιίαις καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Ἰσ. Χρὴ μήθ' ἡδονῆς ἡττηθῆναι μήθ' ὑπὸ κέρδους ἑαρθῆναι. Λυ. Ὑπὸ τοῦ δικαίου ἐσὶν ἡττᾶσθαι καλόν. Γν. Ποθεῖ ἃ μὴ χρή, κέρδεσι νικώμενος. Αἰσ.

A. 2. Theils zu dieser theils zu der folgenden Classe gehört κρατεῖν überlegen sein, zügeln, in seiner Gewalt haben. Ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ. Μέ. Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν. Μέ. Ἰσχὺς μὲν βίᾳ τῶν ἄλλων κρατεῖν δύναται, κάλλος δὲ καὶ τῆς ῥώμης αὐτῆς ἄρχειν πέφυκεν. Ἰσ. Ὁ Μίνως τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖστον ἐκράτησεν. Θ.

A. 3. In der Bedeutung besiegen hat κρατεῖν den Ge. in sofern es bezeichnet die Oberhand haben, den Ac., wie νικᾶν immer, mit Bezug auf die Bewältigung eines factischen Widerstandes. Daher wohl κρατεῖν τῶν ἀνδρῶν und τοὺς ἄνδρας, aber nur χωρίου, τῆς χώρας, τῆς θαλάσσης, θυμοῦ, ὀργῆς ꝛc. Εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων κρατεῖ, τὸ θεῖον τὴν δίκην τε συλλαβών. Εὐ. Τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν. Θ.

A. 4. Daneben findet sich bei κρατεῖν der Ac. des Inhaltes. Τύχη τὰ νῦν προχωρήσαντα ἐκράτησαν. Θ. (Γαστρός γε πᾶσαν ἡνίαν κράτει. Γν.)

20. Eben so steht der Ge. bei den Verben die ein Anführen und Herrschen bezeichnen. Φρόνησις μόνη ἡγεῖται τοῦ ὀρθῶς πράττειν. Πλ. Τὴν ἐν ἀνθρώποις διάνοιαν ἁπάντων εὑρήσομεν ἡγεμονεύουσαν. [Λη.] Θεῖον τὸ ἐθελόντων ἄρχειν. Ξε. Φίλος ἀγαθός ἐστιν ὅστις ἄρχει γαστρός τε καὶ φιλοποσίας καὶ λαγνείας καὶ ὕπνου καὶ ἀργίας. Ξε. Ἔρως τῶν θεῶν βασιλεύει. Πλ. Πολυκράτης Σάμου ἐτυράννει ἐπὶ Καμβύσου. Θ.

Ἄλλος ἄλλου δεσπόζειν ἀξιοῖ. Πλ. Λάχης ὁπλιτῶν καὶ ἱππέων ἐστρατήγει. Θ. Λαομέδων πλοίων ἐναυάρχει. Δη. Οἱ καλοί τε καὶ ἀγαθοὶ αἱροῦνται ἄνευ πόνου τὰ μέτρια κεκτῆσθαι μᾶλλον ἢ διὰ πολέμου πάντων κυριεύειν. Ξε.

A. 1. Auch bei dieſen Verben erſcheint der Ac. des Inhaltes. *Ὁρῶ βροτοῖς τὴν γλῶσσαν, οὐχὶ τἄργα πάνθ' ἡγουμένην. Σο. Δοκεῖ μοι τοῦτο ὑμᾶς πρῶτον ἡμῶν στρατηγῆσαι. Ξε. Μειδίας τὰς πομπὰς ἡγεῖτο. Δη.*

A. 2. Der Dativ findet ſich bei dieſen Verben in ſofern nicht die Suprematie berückſichtigt, ſondern das Wirken für das (perſönliche) Object hervorgehoben wird. Daher wird *ἡγεῖσθαι* von einem Wegweiſer in der Regel mit dem Dativ verbunden (es müßte denn das Vorangehen hervorzuheben ſein); eben ſo auch in der Bedeutung führen, leiten, wenn es ſo viel iſt als *ἡγεμόνα εἶναί τινι*. Von einem Archon konnte nur geſagt werden *ἄρχει τοῖς Ἀθηναίοις. Κέλευέ σοι τοὺς ἡγεμόνας τὴν ῥᾴστην ὁδὸν ἡγεῖσθαι. Ξε. Ὁ Ἔρως ταῖς ἄλλαις ἐπιθυμίαις ὥσπερ δορυφόροις ἡγεῖται. Πλ. Πεισίστρατος ὁ Ἱππίου ἦρξε τὴν ξυμπασίαν Ἀθηναίοις ἀρχήν. Θ.*

A. 3. Beide Caſus hat mit ähnlichem Unterſchiede auch *ἐπιστατεῖν*. *Οὐκ ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιόνων ἐπιστατεῖν. Πλ. Ἡ ψυχὴ τῷ σώματι ἐπιστατεῖ. Πλ.*

A. 4. Auch der Präpoſition wegen haben den Ge. *προϊστάναι, προΐστασθαι, προστατεῖν, προστατεύειν. Ἄνδρα ἀγαθὸν ἡ πόλις ἀξιοῖ ἑαυτῆς προϊστάναι. Πλ. Ῥᾷόν ἐστι ἰδίᾳ τινὰς θεραπεύειν ἢ τῶν ὑμετέρων δικαίων προΐστασθαι. Δη. Πρέπει τῶν μεγίστων προστατοῦντι μεγίστης φρονήσεως μετέχειν. Πλ. Εὐδαιμονεστάτην τὴν πόλιν ἧς προστατεύεις πάρεχε. Ξε.*

21. Eigentlich in materialer Weiſe bezeichnet der Ge. auf welchen Gegenſtand bezogen ein Begriff zu denken iſt, überſetzbar durch in Bezug auf, wegen: Ge. der Relation; am häufigſten bei Verben der Gefühle und ihrer Aeußerungen. *Τοὺς θέλοντας θεραπεύειν τὰς πόλεις οὐκ ἄγασαι τῆς ἀνδρείας τε καὶ εὐχερείας; Πλ. Τοὺς περιφόβους τῆς μὲν τόλμης οὐ θαυμάζω, τῆς δὲ ἀξυνεσίας. Θ. Συγχαίρω τῶν γεγενημένων. Δη. Τούτους οἰκτείρω τῆς ἄγαν χαλεπῆς νόσου. Λυ. Τῆς τύχης ἦ ἐρχησάμην δικαίως ἂν ὑπὸ πάντων ἐλεηθείην. Ἀνδ. Τὸν ἰσονομικὸν ἄνδρα πολλοὶ ἂν καὶ πολλαὶ ζηλώσειαν τοῦ βίου. Πλ. Σοφίας φθονῆσαι μᾶλλον ἢ πλούτου καλόν. Γν. Δίκαιον τῶν αὐτῶν ἀδικημάτων μάλιστα ὀργίζεσθαι τοῖς μάλιστα δυναμένοις μὴ ἀδικεῖν. Λυ. Οὐ μνησικακήσει βασιλεὺς αὐτοῖς τῆς ἐπιστρατείας. Ξε. Συγγιγνώσκειν αὐτοῖς χρὴ τῆς ἐπιθυμίας. Πλ.*

Τοῦ γενέσθαι προέχοντα τῶν ἄλλων εἰκότως ἄν τις τὴν τύχην αἰτιάσαιτο, τοῦ δὲ καλῶς καὶ μετρίως κεχρῆσθαι τῇ φύσει δικαίως ἂν ἅπαντες τὸν τρόπον τὸν ἐμὸν ἐπαινέσειαν. Ἰσ. Δοκοῦσί μοι πάντες τοὺς ἀνθρώπους εὐδαι-

μονίζειν τῶν ἀγαθῶν ὧν ὁ θεὸς αὐτοῖς αἴτιος. Πλ. Τοῦδ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι. Αἰσ.

A. Eben so steht der Ge. bei den Verben die ein Streiten um etwas bezeichnen. *Εὔμολπος ἠμφισβήτησεν Ἐρεχθεῖ τῆς πόλεως. Ἰσ. Εἰώθασιν ὧν ἂν ἑαυτοῖς διανεχθῶσιν γυνὴ καὶ ἀνὴρ διαλλάττεσθαι διὰ τοὺς παῖδας. Δη. Θεμιστοκλῆς Ἀδμήτῳ χρείας τινὸς ἠναντιώθη. Θ. Οὐκ ἀντιποιούμεθα βασιλεῖ τῆς ἀρχῆς. Ξε.*

22. Eine Art des relativen Ge. ist der Ge. der Beschuldigung, der besonders bei gerichtlichen Verben erscheint. *Τῶν ἀγαθῶν οὐδένα ἄλλον αἰτιατέον ἢ τὸν θεόν. Πλ. Προσκαλοῦμαί σε βλάβης. Ἀρ. Ἀνόσιόν ἐστι τὸν υἱὸν πατρὶ φόνου ἐπεξιέναι. Πλ. Τὸ χάριν ἀποδοῦναι παρανόμων γράφῃ. Δη. Διώκω μὲν κακηγορίας, τῇ δ' αὐτῇ ψήφῳ φόνου φεύγω. Λυ. Ἀνελεύθερον νομίζω κακηγορίας δικάζεσθαι. Λυ. Οἱ Πέρσαι δικάζουσιν ἀχαριστίας. Ξε. Οἱ πρέσβεις δώρων ἐκρίθησαν. Λυ. Κατὰ νόμον ἐξῆν παρανοίας ἑλόντι τὸν πατέρα δῆσαι. Ξε. Ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκᾷ. Δη. Ὁπόσοι κλοπῆς ἢ δώρων ὄφλοιεν, τούτους ἔδει καὶ αὐτοὺς καὶ τοὺς ἐκ τούτων ἀτίμους εἶναι. Ἀνδ. Πολλῶν οἱ πατέρες ἡμῶν μηδισμοῦ θάνατον κατέγνωσαν. Ἰσ. Τοῦς παρόντας τῆς ἐξαπάτης τιμωρησώμεθα. Ξε. (Τιμωρήσειν σοι τοῦ παιδὸς ὑπισχνοῦμαι. Ξε.)*

A. 1. *Θανάτου* bei Verben dieser Art ist der Genitiv des Preises No. 17. *Λέγουσιν οἱ νόμοι, ἐάν τις ἁλῷ κλοπῆς καὶ μὴ τιμηθῇ θανάτου, προστιμᾶν αὐτῷ δεσμόν. Δη. Οἱ Ἔφοροι τὸν Σφοδρίαν ὑπῆγον θανάτου. Ξε.*

(A. 2. Relativer Art ist wohl auch der Ge. des Infinitivs, wenn er, auf einen ganzen Satz bezogen, eine Folge, meist eine beabsichtigte, bezeichnet: so daß, damit. *Μίνως τὸ λῃστικὸν καθῄρει ἐκ τῆς θαλάσσης τοῦ τὰς προσόδους μάλλον ἰέναι αὐτῷ. Θ.*)

A. 4. Aehnlich wie ὡς ꝛc. findet sich beim Superlativ οἷος; mit hinzugefügtem *δύνασθαι* ꝛc. ὅσος und ὁπόσος, wie quantus (selten so ὁποῖος). *Ὁρῶ τὰ πράγματα οὐχ οἷα βέλτιστα ἐν τῇ πόλει ὄντα.* Αν. *Σωκράτης ποτὲ ὄντος πάγου οἵου δεινοτάτου ἀνυπόδητος διὰ τοῦ κρυστάλλου ἐπορεύετο.* Πλ. — *Ἦγε στρατιὰν ὅσην παντα χόθεν πλείστην ἐδύνατο.* Θ. *Ἄδειαν πεποίηκε ὅσην οἷόν τε γενέσθαι πλείστην.* Δη. [*Ὑπισχνοῦνται βοηθεῖν τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν.* Θ.]

A. 5. Eine andere Art von Verstärkung des Superlativs ist εἷς mit dem Substantiv der bezüglichen Gattung, am häufigsten εἷς ἀνήρ eig. als einzelner Mann im Gegensatze zu Mehreren, z. B einem Staate; dann unter, vor allen Männern. Ἐξὴν Κύρῳ θησαυροὺς χρυσοῦ πλείστους ἑνὶ ἀνδρὶ ἐν τῷ οἴκῳ καταθέσθαι. Ξε Κάλλιστ' ἀνὴρ εἰς ἐτράφην. Σο.

(A. 6. Eine bei Herod., Thuc., Plato und Spätern vorkommende Steigerungsformel des Superlativs ist ἐν τοῖς vor Allen, bei Weitem; ursprünglich wohl so gebraucht daß man dabei das Particip des Verbums ergänzte; dann fast adverbial geworden und selbst in Verbindung mit einem Femininum unverändert beibehalten. Ἐν τοῖς πρῶτοι Ἀθηναῖοι τὸν σίδηρον κατέθεντο. Θ. Ὡμὴ ἡ στάσις ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο. Θ. Ἀρίσταρχος ἐν τοῖς μάλιστα καὶ ἐκ πλείστου ἐναντίος τῷ δήμῳ ἦν. Θ.)

A. 7. Ueber die Umschreibung des Superlativs durch μάλιστα 7, 5.

(A. 8. Gesteigert wird die Bedeutung des Superlativs durch μάλιστα [dichterisch auch durch πλεῖστον und μέγιστον], in sofern er an sich nur einen hohen Grad bezeichnen kann, wenn nicht etwa das μάλιστα vorzugsweise einem andern Begriffe angehört. Doch ist diese Verbindung überhaupt nicht häufig. Τὸ τέταρτον γένος ἔννδρον γέγονεν ἐκ τῶν μάλιστα ἀνοητοτάτων καὶ ἀμαθεστάτων. Πλ. — Τῇ πρώτῃ ἡμέρᾳ μάλιστα δεινότατος ἔσται τοῖς πολεμίοις. Θ. Διὰ τοὺς νόμους μάλιστα μέγιστοι ἐσιε. Ξε.)

§ 50. Der Artikel.

I. Der Artikel als Pronomen.

1. Der Artikel, ursprünglich deiktisches Pronomen, der, dieser, erscheint als solches in der epischen Poesie; in der gew. Prosa hat er diese Bedeutung nur in einzelnen, meist sehr bestimmten Verbindungen, am häufigsten in ὁ μέν, ὁ δέ (welches letztere auch mehrere Male stehen kann) durch alle Casus, wenn kein dazu gehöriges Substantiv folgt.

A. 1. Wenn nämlich ὁ μέν — ὁ δέ mit einem folgenden Substantiv oder einer Substantivirung attributiv verbunden sind, so ist ὁ der Artikel. [Pronomen nur in den äußerst seltenen Fällen, wo zu einem doppelten ὁ dasselbe Substantiv gehört.] Ἡ μὲν εὐταξία σώζειν δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν. Ξε. Τὰ μὲν δίκαι' ἐπαινεῖς, τοῦ δὲ κερδαίνειν ἔχει. Σο. [Τῇ μὲν δίδωμι χειρί, τῇ δὲ λαμβάνω. Ἀρ. Vgl. das Beispiel A. 18.]

A. 2. Auf vorhergehende Substantive bezogen heißen ὁ μέν — ὁ δέ dieser — jener, der eine — der andere. Dabei kann ὁ μέν sowohl auf das nähere als auf das entferntere Substantiv ge-

ben. *Χαλεπώτερόν ἐστιν εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς φέροντα ἢ τὰ κακά· τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ. Ξε. Περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητός, ἡ δὲ ἀθάνατος. Ἰσ. Ἀστεῖος εἶναι πειρῶ καὶ σεμνός· τὸ μὲν γὰρ τῇ τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει. Ἰσ.*

[A. 3. Statt *ὁ μέν — ὁ δέ* können natürlich auch die Begriffe selbst mit *μέν* oder *δέ* wiederholt werden, wie Antiph. 5, 5, Dem. 20, 119; auch *ὁ μέν* stehen und statt *ὁ δέ* der bezügliche Begriff, wie Her. 1, 59 u. Thuc. 1, 84, oder ein synonymer, wie Thuc. 6, 72, eintreten.]

A. 4. Ohne vorhergehendes *ὁ μέν* steht *ὁ δέ*, *οἱ δέ* er, sie aber, *τὸ δέ* dies aber, meist ein dem vorhergehenden entgegengesetztes Subject einführend, also gewöhnlich im No. und oder bei obliquer Rede im Ac. *Πείθουσι τὸν Σάδοκον τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν· ὁ δὲ πεισθεὶς αὐτοὺς ξυλλαμβάνει. Θ. Ἰνάρως Ἀθηναίους ἐπηγάγετο· οἱ δὲ ἦλθον. Θ. Ἴσως ὑμῖν ταυτὶ λέγων δοκῶ λέγειν ἀπαυθαδιζόμενος· τὸ δ' οὐκ ἔστι τοιοῦτον. Πλ. (Τάχ' ἄν τις θαρσοίη ὅτι αὐτῶν ὑπερφέρομεν· τοῖς δὲ ἄλλη γῆ ἐστιν. Θ. Φασὶ ξυμμαχίαν διὰ τὸ σῶφρον οὐδενός πω δέξασθαι· τὸ δ' ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπετήδευσαν. Θ.)* Ueber die bei Attikern äußerst seltene Beziehung des *ὁ δέ* auf das vorhergehende Subject s. Krüger zu Xen. An. 4, 2, 6.

A. 5. Wenn *καί* statt *δέ* eintritt, sagte man *καὶ ὅς, καὶ ἥ, καὶ οἵ*; aber im Ac. (mit dem Inf.) *καὶ τόν, καὶ τήν*. Jene Form des Artikels erscheint auch in *ἦ δ' ὅς, ἦ δ' ἥ* sagte er, sie. Erst seit Demosthenes, und sehr selten bei den Attikern, findet sich diese veraltete Form des Artikels (gew. im Plural) auch in Verbindung mit *μέν* und *δέ*, doch nur in den obliquen Casus. *Οὐδεὶς ἀντέλεγε· καὶ ὃς ἡγεῖτο. Ξε. Ἐκ τούτου ἡγεῖσθαι ἐκέλευε τοὺς Ὑρκανίους. καὶ οἳ ἠρώτων· τί δ' ἀναμένεις; καὶ τὸν ἀποκρίνασθαι λέγεται. Ξε. — Τί δέ, ἦ δ' ὅς, ὁ Θρασύμαχος· χρυσοχοήσαντας οἴει τούσδε νῦν ἐνθάδε ἀφῖχθαι; Πλ. [Οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται θεός. Γν. Φίλιππος πόλεις Ἑλληνίδας ἃς μὲν ἀναιρῶν, εἰς ἃς δὲ τοὺς φυγάδας κατάγων ἔλυε τὴν εἰρήνην. Δη.]*

A. 6. Unbestimmt bedeuten *ὁ μέν — ὁ δέ* durch alle Formen auch einer — ein anderer, der eine — der andere, sowohl wenn sie einem vorhergehenden Substantiv appositiv angefügt sind als wenn sie den partitiven Ge. bei sich haben. S. § 47, 28 A. 2. 3. *Λέγεται ψυχὴ ἡ μὲν νοῦν ἔχειν, ἡ δὲ ἄνοιαν. Πλ. Οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων τιμᾶν, ἀλλὰ τὰς μὲν τὰς δ' οὔ· οὐδὲ πάντων, ἀλλὰ τῶν μὲν τῶν δ' οὔ. Πλ. Τῶν πόλεων αἱ μὲν τυραννοῦνται, αἱ δὲ δημοκρατοῦνται, αἱ δὲ ἀριστοκρατοῦνται. Πλ.*

A. 7. Der Singular von *ὁ μέν, ὁ δέ* ist in diesem Falle zuweilen durch ein Theil — ein anderer zu übersetzen. *Τὸν φιλόσοφον σοφίας φήσομεν ἐπιθυμητὴν εἶναι, οὐ τῆς μὲν τῆς δ' οὔ, ἀλλα πάσης. Πλ. Ἡ ἄλλη στρατιὰ ἡ μὲν πρὸς τὴν πόλιν ἐχώρουν, ἡ δὲ πρὸς τὴν πυλίδα. Θ. Ὁ μὲν πεπραμένος ἦν τοῦ σίτου, ὁ δὲ ἔνδον ἀποκείμενος.* [*Δη.*]

A. 8. Auch substantivirt heißen *ὁ μέν — ὁ δέ* Einer — ein Anderer, der Eine — der Andere. *Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς. Γν. Ἀνώμαλοι τύχαι· οἱ μὲν γὰρ εὖ*

πράσσουσι, τοῖς δὲ συμφοραὶ σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεούς. Εὐ. Ἄλλο τι ἡμῶν αὐτῶν τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή; Πλ. Τὰ μὲν ἀναρμοστεῖ που πρὸς ἄλληλα, τὰ δὲ ξυναρμόττει. Πλ.

A. 9. In dieſer Bedeutung A. 6 u. 8 kann dem ὁ μέν und ὁ δέ auch τὶς beigefügt werden, um die Unbeſtimmtheit mehr hervorzuheben. Ἔλεγον τοῦ Κύρου ὁ μέν τις τὴν σοφίαν, ὁ δὲ τὴν καρτερίαν, ὁ δὲ τὴν πραότητα, ὁ δέ τις καὶ τὸ κάλλος καὶ τὸ μέγεθος. Ξε. Ἐπιχειροῦντες νόμους τιθέναι τοὺς μὲν ὀρθῶς τιθέασι, τοὺς δέ τινας οὐκ ὀρθῶς. Πλ. Τὰ μὲν μιμήσεται τὴν προτέραν πολιτείαν, τὰ δὲ τὴν ὀλιγαρχίαν, τὸ δέ τι καὶ αὐτῆς ἕξει ἴδιον. Πλ.

A. 10. Statt ὁ bei μέν oder δέ kann auch ein anderes, beſonders ein ſynonymes Wort eintreten. Γεωργὸς μὲν εἷς, ὁ δὲ οἰκοδόμος, ἄλλος δέ τις ὑφάντης. Πλ. Οἱ μὲν τὰ γένη τῶν ἡμιθέων ἀνεζήτησαν, οἱ δὲ περὶ τοὺς ποιητὰς ἐφιλοσόφησαν, ἕτεροι δὲ τὰς πράξεις τὰς ἐν τοῖς πολέμοις συναγαγεῖν ἐβουλήθησαν, ἄλλοι δέ τινες περὶ τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις γεγόνασιν, οὓς ἀντιλογικοὺς καλοῦσιν. Ἰσ.

A. 11. Dem ὁ μέν, ὁ δέ kann auch der Begriff den es andeutet appoſitiv beigefügt werden. Doch pflegt dabei auch ſtatt ὁ δέ der bezügliche Begriff ſelbſt einzutreten. Τοὺς μὲν τὰ δίκαια ποιεῖν ἠνάγκασα, τοὺς πλουσίους, τοὺς δὲ πένητας ἔπαυσα ἀδικουμένους. Δη. Οὐχ ὁμολογῶ ταὐτὸν εἶναι δύναμίν τε καὶ ἰσχύν, ἀλλὰ τὸ μὲν ἀπὸ ἐπιστήμης γίγνεσθαι, τὴν δύναμιν, ἰσχὺν δὲ ἀπὸ φύσεως. Δη.

A. 12. Oft fehlt (ὁ) μέν bei wirklicher Antitheſe, wo denn der Satz mit δέ eig. wohl als ausfüllend oder vervollſtändigend zu betrachten iſt, zum Theil hervorhebt. Εἰσφέρειν ἐκέλευον, οἱ δ' οὐδὲν δεῖν ἔφασαν· πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ' ἄγειν εἰρήνην. Δη. Δύο λέγω εἴδη κινήσεως, ἀλλοίωσιν, τὴν δὲ περιφοράν. Πλ.

A. 13. Wenn mit dem pronominalen ὁ μέν — ὁ δέ eine Präpoſition verbunden wird, ſo treten μέν und δέ gleich nach dieſer ein, jedoch wenigſtens μέν nicht immer. Ἐν μὲν τοῖς συμφωνοῦμεν, ἐν δὲ τοῖς οὔ. Πλ. Ἡ φύσις εἰς τὰ μὲν οἷά τε, εἰς δὲ τὰ οὔ. Πλ.

(A. 14. Adverbartig ſteht τὸ δέ eine dem Vorigen entgegengeſetzte Behauptung einführend: da doch. Οἴονταί με σοφὸν εἶναι· τὸ δὲ κινδυνεύει τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι. Πλ.)

A. 15. Gleichfalls adverbartig ſtehen die Ac. τὸ μέν und τὸ δέ, τὰ μέν und τὰ δέ, (auch mit τὶ verbunden, ſelbſt τὰ μέν τι vgl. § 44, 4) ſo wie τὸ δέ (τι) und τὰ δέ τι ohne τὸ μέν und τὰ μέν: theils, theils. Vgl. § 46, 4. Manche, auch att. Schriftſteller, wie Soph. und mehrere Redner, gebrauchen in dieſem Sinne auch τοῦτο μὲν — τοῦτο δέ. Τὰ μὲν καὶ Ἀλκιβιάδου προσπέμψαντος λόγους, τὸ δὲ πλέον καὶ ἀπὸ σφῶν αὐτῶν ὥρμηντο ἐς τὸ καταλῦσαι τὴν δημοκρατίαν. Θ. Τὰ μέν τι ἐμάχοντο, τὰ δὲ καὶ ἀνεπαύοντο. Ξε. Λαθεῖν ἂν ἐνόμιζε· τὸ δέ τι καὶ τὰ τῶν πολεμίων ἐλπίδος τι ἔτι παρεῖχεν. Θ. Τοῦτο μὲν κακὰ εἶχον, τοῦτο δὲ ἀπωλλύμην. Ἀνδ.

A. 16. Das eig. Adverbium τῇ μέν — τῇ δέ heißt hier — dort, an der einen — an der andern Stelle; und übertragen einestheils — anderntheils. Τῇ μὲν ἄνοδον, τῇ δὲ εὔοδον εὑρήσομεν τὸ ὄρος. Ξε. — Τέχνην τῇ μὲν ῥᾳδίαν ἔχω, τῇ δ' αὖ χαλεπωτάτην. Πλ.

A. 17. Als Vertreter einer nicht zu nennenden Perſon oder Sache ſteht der pronominale Artikel in den Formen τὸν καὶ τόν

den und den, τὸ καὶ τό, τὰ καὶ τά; Accusative die durch ὁ δεῖνα (§ 25, 1 A. 6) ergänzt werden. [Als No. steht ὃς καὶ ὅς bei Her. 4, 68.] *Ἐξέρχομαι καὶ ἀφικνοῦμαι ὡς τὸν καὶ τόν. Αν. Ἔδει τὸ καὶ τὸ ποιῆσαι καὶ τὸ μὴ ποιῆσαι. Δη. — Τί δὴ τὰ καὶ τὰ πεπονθὼς ὁ δεῖνα οὐκ ἐλάμβανε δίκην παρ' ἐμοῦ; Δη.*

[A. 18. Aehnlich sagte man τόσοι καὶ τόσοι so und so viele, τοῖοι καὶ τοῖοι so und so beschaffene. Vgl. § 25, 10 A. 4. *Ζημιοῦται χρήμασι τε καὶ ἀτιμίᾳ, χρήμασι μὲν τόσοις καὶ τόσοις, τῇ καὶ τῇ δὲ ἀτιμίᾳ. Πλ. Εἴδη ἐστὶ τόσα καὶ τόσα καὶ τοῖα καὶ τοῖα. Πλ.*]

A. 19. Allgemein üblich ist auch πρὸ τοῦ (προτοῦ) vor dem. *Μικρὰ ἃ πρὸ τοῦ μεγάλα ἦν φαίνεται. Δη. Ἐν τῷ πρὸ τοῦ χρόνῳ οὗ φασιν ἡμᾶς προέσθαι. Θ.*

A. 20. Der bloße Artikel steht auch unmittelbar vor einem relativen Satze, der dann gleichsam dessen Nomen vertritt: ein Sprachgebrauch den von att. Prosaikern häufiger nur Platon sich erlaubt. Auszuschließen sind jedoch die proklitischen Formen, in der Prosa vielleicht überhaupt die Nominative. *Τόν τε Εὐθύκριτον καὶ τὸν ὃς ἔφη δεσπότης τούτου εἶναι μάρτυρας παρέξομαι. Αν. Ὁρέγεται τοῦ ὅ ἐστιν ἴσον. Πλ. Δεῖ μισεῖν τοὺς οἱόσπερ οὗτος. Δη. Ταῦτα πρόσεσιι τοῖς οἷος οὗτός ἐστι τὴν φύσιν. [Δη.]*

[A. 21. Aehnlich findet sich τό γε — ὅτι Pl. Euthyd. 291 a. Wie dieses erscheinen in der Prosa vereinzelt τοῦτο μὲν ἐκ τῆς — τοῦτο δὲ ἐκ τῆς Xen. St. d. Ath. 2, 8, τὸ μὲν τῇ — τὸ δὲ τῇ eb. § 12 vgl. Her. 2, 138 und τῇ καὶ τῇ eb., οὔτε τοῖς — οὔτε τοῖς Pl. Ges. 701 e, τῷ daher Pl. Theät. 179 d. Soph. 230 a. Ueber ἐν τοῖς beim Superlativ § 49, 10 A. 6.]

A. 22. Nur scheinbar hieher gehört der Fall wo zu dem Artikel das Nomen aus dem Vorhergehenden oder Folgenden zu ergänzen ist, wie es ähnlich selbst bei fehlendem Artikel auch zu einem Ge. zu denken ist. *Καλλίστη δοκεῖ πολιτεία εἶναι ἡ Λακεδαιμονίων. Ξε. Ἀνὴρ ὁ ἔχων ὀρθὴν δόξαν οὐδὲν χείρων ἢ ὁ ἐπιστήμην. Πλ. — Οὐ πανηληθής ἐστιν ἡ τῶν ἄλλων ἡδονὴ πλὴν τῆς τοῦ φρονίμου. Πλ. Ἔφαμεν τὴν ἀνδρίαν μόριον εἶναι ἓν τῶν τῆς ἀρετῆς. Πλ. — Πολὺ κρείττων ἐστὶν ὁ τῆς ψυχῆς ἢ ὁ τοῦ σώματος ἔρως. Ξε. Ἡ τοῦ πείθειν πολὺ διαφέρει πασῶν τεχνῶν. Πλ. — Τὰ μὲν καλὰ ἐπιτηδεύματα εἰς ἀρετῆς κτῆσιν φέρει, τὰ δ' αἰσχρὰ εἰς κακίας (sc. κτῆσιν). Πλ. Δικαιοσύνης καὶ σωφροσύνης κτήσει εὐδαίμονες οἱ εὐδαίμονες, κακίας δὲ ἄθλιοι οἱ ἄθλιοι. Πλ.*

A. 23. Sachgemäß ist es die Formen ὅ, ἥ, οἵ, αἵ zu ὀxytoniren, wenn sie in proneminalen Sinne stehen: ὃ *μέν* — ὃ *δέ* ꝛc. Doch unterläßt man dies gewöhnlich. Vgl. Reiz de inclin. accentus p. 5 f.

II. Der Artikel individuell gebraucht.

2. Der Artikel als solcher ist seinem Ursprunge gemäß deiktisch: er macht den bloßen Begriff zu einem bekannten oder kenntlichen Object, an das der Hörer oder Leser vorzugsweise zu denken Gründe hat: individuelle Bedeutung.

A. 1. Im engern Sinne deiktisch steht der Artikel, indem er auf eben vorschwebende, vorliegende oder auf allgemein bekannte, notorische Gegenstände hinweist, welche letztere Beziehung die griech. Grammatiker *ἀναφορά* nennen. Bekker Anecd. gr. p. 899. 902 vgl. 873, Apoll. *π. ἀντων.* p 1, 12 p. 47 vgl. 1, 7 p. 34: *τὸ ἄρθρον προϋφεστῶσαν γνῶσιν δηλοῖ.*] *Ἄνδρες, ἴωμεν ἐπὶ τοὺς ἄνδρας. Ξε. Ἄπορόν ἐστι τοὺς ποταμοὺς διαβῆναι. Ξε. Ἐτόλμησαν βάλλειν τοῖς λίθοις. Ξε. Μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ. Ἡρ. — Δουλεύομεν θεοῖς, ὅ, τι ποτ' εἰσὶν οἱ θεοί. Εὐ. Τῶν ἑπτὰ σοφώτατος ἦν Σόλων. Πλ. Τοὺς νόμους ἡγεῖτο νόμισμα τῆς πόλεως εἶναι. Δη. Οἱ Τρῶες τὰ δέκα ἔτη ἀντεῖχον. Θ. — Θάνατος μέγιστον ξῦμα τῶν πολλῶν κακῶν. Αἰσχ. Πάνθ' ὁ μέγας χρόνος μαραίνει. Σο. — Ὁ τετρημένος πίθος ἐστὶν ἡ τοιαύτη βοηθία τοῖς ἀπόροις. Ἀρλ.*

A. 2. Im deiktischen Gebrauche des Artikels ist der Grieche viel freier als der Deutsche, indem er mehr Talent der Auffassung, namentlich der Erneuerung einer schon da gewesenen oder leicht sich darbietenden Vorstellung voraussetzt. So bezeichnet der Artikel selbst Bevorstehendes oder Erwartetes. *Ἐβούλετο τὴν μάχην ποιῆσαι. Θ. Τῆς ὑπαρχούσης δόξης μὴ χείροσι γενέσθαι ὑμῖν μεγάλη ἡ δόξα. Θ. Ἀπὸ στάσεων ἐκπίπτοντες ἔκτιζον τὰς πόλεις. Θ.*

A. 3. Gleichfalls deiktisch steht der Artikel in sofern der Begriff als einem vorschwebenden Gegenstande natürlich, notorisch oder üblicher Weise zukommend gedacht wird, wo er denn oft als schwächeres Possessiv erscheint. [*Μοναδικαὶ οὖσαι αἱ κτήσεις τὸ ἄρθρον ἀπαιτοῦσιν.* Apollon. *συντ.* 1. 36 p. 78 vgl. 39 p. 85.] *Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ γονεῖς. Ἰσ. Κῦρος καταπηδήσας ἀπὸ τοῦ ἅρματος τὸν θώρακα ἐνέδυ καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε. Ξε. Ἐνόμιζον, εἰ ἕκαστος τὸ μέρος ἀξιοέπαινον ποιήσειε, τὸ ὅλον αὐτῷ καλῶς ἕξειν. Ξε. Ὁ σοφὸς ἐν αὑτῷ περιφέρει τὴν οὐσίαν. Γν. Οὐ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους. Θ. Τότε τὰς γυναῖκας δεδιέναι μάλιστα δεῖ, ὅταν τι περιπλάττωσι τοῖς χρησταῖς λόγοις. Μέ.*

A. 4. Hieraus entwickelt sich der Begriff des Bezüglichen (respective: der jedesmalige), das leicht auch als ein Gebührendes, Erforderliches, Gehöriges erscheinen kann. *Ἐάν τίς μοι μακρὰ λέγῃ, ἐπιλανθάνομαι περὶ οὗ ἂν ᾖ ὁ λόγος. Πλ. Οὐδείς πω κατεγνοὺς ἑαυτοῦ μὴ περιέσεσθαι τῷ ἐπιβουλεύματι ἦλθεν ἐς τὸ δεινόν. Θ. Οἱ πλούσιοι τοῖς χρήμασιν ἐξωνοῦνται τοὺς κινδύνους. Αν. — Αἱ τιμαὶ μεγάλαι, ἂν ἀποκτείνῃ τις τύραννον. Ἀρλ. Ἐξετάσατε πῶς ποτε οἱ πάλαι τὰς τιμὰς ἔνεμον καὶ τὰς δωρεὰς τοῖς ὡς ἀληθῶς εὐεργέταις. Δη. Τῶν ἀδικημάτων ἐν τοῖς νόμοις εἰσὶν αἱ τιμωρίαι. Δη. Τοῖς τὸ νόμισμα διαφθείρουσι θάνατος παρ' ὑμῖν ἐστιν ἡ ζημία. Δη. — Ἄνδρα συγγενῆ κακῶς δρῶν ὑφέξεις τὴν δίκην. Σο. Γένοιτό μοι τὰς χάριτας ἀποδοῦναι πατρί. Χαιρ. Τὸ μέρος τῶν ψήφων οὐ λαβὼν ἀπέτισε τὰς πεντακοσίας δραχμάς. Δη. — Κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ. Μέ. Τὰ χρηστά, οὐδ' ἢν τὸν διδάσκαλον λάβῃ, ἐμνημόνευσε, αλλὰ κέκτηται μόλις. Σο.*

A. 5. An den Begriff des Bezüglichen schließt sich der des Beliebigen: ein schwächeres jeder. *Ἔδωκεν ἀντὶ δαρεικοῦ τρία ἡμιδα-*

ρεικὰ τοῦ μηνὸς τῷ στρατιώτῃ. Ξε. Σχήσουσι τὴν πάλιν ἀνάκρουσιν τῆς προσπεσούσης νεώς. Θ. Vgl. 3 A. 2.

A. 6. Oft bezeichnet der Artikel daß sein Nomen im Vorhergehenden schon erwähnt oder wenigstens angedeutet sei. Dabei wird nicht selten auf sehr Entferntes Rücksicht genommen. *Ἐπιπίπτει χιών· καταχειμένων δὲ ἀλεεινὸν ἦν ἡ χιὼν ἐπιπεπτωκυῖα. Ξε. Ἡ παιδιὰ χάριν ἀναπαύσεώς ἐστιν· τὴν δ' ἀνάπαυσιν ἀναγκαῖον ἡδεῖαν εἶναι. Ἀρλ. Οἱ ἔφηβοι δέκα ἔτη κοιμῶνται περὶ τὰ ἀρχεῖα· ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας. Ξε.*

A. 7. Auch findet sich der Artikel mit Bezug auf eine erst folgende Bezeichnung (wie Xen. An. 5, 6, 10), besonders durch einen relativen Satz. *Μαρτύριον τῆς νίκης ἡ ἐλευθερία τῶν πόλεων ἐν αἷς ὑμεῖς ἐγένεσθε καὶ ἐτράφητε. Ξε. Καταλύεται τῆς βουλῆς ἡ δύναμις ἐν ταῖς τοιαύταις δημοκρατίαις ἐν αἷς αὐτὸς συνιὼν ὁ δῆμος χρηματίζει περὶ πάντων. Ἀρλ.*

A. 8. Bei Cardinalzahlen steht der Artikel, wenn sie neben einem genannten oder bekannten Ganzen als diesem zugehöriger und in sofern bestimmter Theil erscheinen: expletiv. So auch bei Brüchen vgl. § 24, 3 A. 9: *τὰ δύο μέρη (τῶν τριῶν)* zwei Drittel. Aehnlich steht er bei Comparativen, in sofern man sie als Supplement zum Ganzen vorstellt. Vgl. 4 A. 13. *Ἐναυμάχησαν ναυσὶν ἑβδομήκοντα, ὧν αἱ εἴκοσι στρατιώτιδες ἦσαν. Θ. Ἀπῆσαν τῶν λόχων δέκα ὄντων οἱ τρεῖς. Ξε. — Τῶν Ἀθηναίων αἱ μὲν ἓξ φυλαὶ κατὰ τοὺς Λακεδαιμονίους ἐγένοντο, αἱ δὲ τέτταρες κατὰ Τεγεάτας. Ξε. Τοὺς μὲν ὀκτὼ τῶν μηνῶν ἀφόρητος οἷος γίνεται χρυμός. Ἡρ. — Λακεδαιμόνιοι Πελοποννήσου τῶν πέντε μερῶν τὰς δύο νέμονται. Θ. Ἔφραζον ἰέναι ἐς Ἰσθμὸν τοῖς δύο μέρεσιν. Θ. — Εἰ μὴ φυλάξεις μίχρ', ἀπολεῖ τὰ μείζονα. Γν. Ἢν καὶ ὁπωσοῦν ἐλασσωθῶσιν, οὐ τοῦ πλείονος μὴ στερισκόμενοι χάριν ἔχουσιν. Θ. Ἀεὶ τοῦ πλέονος ὀρεγόμενοι περὶ τῶν ὑπαρχόντων κινδυνεύουσιν. Ἰσ.*

A. 9. Außerdem findet sich der Artikel bei Cardinalzahlen, wo sie summarisch stehen, mit der Idee daß etwas mehr oder weniger nicht in Anschlag komme, am häufigsten in Verbindung mit *ἀμφί, περί, εἰς, ὑπέρ* [nie bei *ὡς* etwa]. *Δοκεῖ μέτριος χρόνος ἀκμῆς τὰ εἴκοσιν ἔτη γυναικί, ἀνδρὶ δὲ τὰ τριάκοντα. Πλ. Πλείονες τῶν ἑκατὸν ἐγένοντο. Ξε. Λέγονται Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι. Ξε.*

A. 10. Bei unbenannten Zahlen bezeichnet der Artikel daß sie auf beliebige Objecte beziehbar seien. *Εἴ τινα ἔροιο ὁπόσα ἐστὶ τὰ δώδεκα, μὴ ἐρεῖς ὅτι τὰ δώδεκά ἐστι δὶς ἕξ; Πλ.*

A. 11. In vielen Fällen wo individuelle Bezeichnung statt findet ist der Artikel nicht nothwendig. So kann er im Allgemeinen stehen und fehlen bei (den schon an sich bestimmten) Eigennamen von Individuen, ersteres jedoch nicht, wenn sie als noch unbekannte eingeführt werden. Eben so können des Artikels entbehren die Plurale von Völkernamen und Patronymiken (zumal da sie sich leicht generisch denken lassen). Bei den Namen der Feste, Ortschaften, Länder, Winde und Gestirne kann er gleichfalls fehlen und stehen. Ueber die Verbindung *ἐν Ἐφέσῳ τῆς Ἰωνίας* u. ä. § 47, 5 A. 5. *Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Ἀθηναίων καὶ Πελοποννησίων. Θ. Τῇ νῦν ἰατρικῇ πρὸ τοῦ Ἀσκληπιάδαι οὐκ*

ἐχρῶντο. Πλ. — Ἕλληνες καὶ βάρβαροι θεοὺς ἡγοῦνται πάντα εἰδέναι τά τε ὄντα καὶ τὰ μέλλοντα. Ξε. — Δήλια ἐκείνου τοῦ μηνὸς ἦν. Ξε. Εἰσάγει μὲν εἰς τὸν Πόντον νότος, ἐξάγει δὲ βορέας. Πολ. Οἱ λόγοι οἱ τῆς ἀστρονομίας εἰσὶ περὶ τὴν τῶν ἄστρων φορὰν καὶ ἡλίου καὶ σελήνης. Πλ.

A. 12. Natürliche Zeitbestimmungen finden sich mit und ohne Artikel; letzteres jedoch hauptsächlich nur (nicht nothwendig) in Verbindung mit Präpositionen (auch *ἅμα* und *μέχρι*); eben so *ἡμέρας, νυκτός* vgl. § 47, 2, aber regelmäßig nur *μέσαι νύκτες* Mitternacht. Nicht minder kann der Artikel fehlen bei Angaben historischer Epochen in Verbindung mit einer Präposition. *Ἔαρ ὑπέφαινεν. Ξε. Ὅτε ταῦτα ἦν, σχεδὸν ἦσαν μέσαι νύκτες. Ξε. Ἅμα ὄρθρῳ ἐπιπίπτει. Θ. Ἅμα ἕῳ ἔπλεον. Θ. Ἐναυμάχησαν μέχρι δείλης ἐξ ἑωθινοῦ. Ξε. Μέχρι μέσου ἡμέρας ἐδῄωσαν τὴν γῆν. Θ. Ἐχώρει ἀφ' ἑσπέρας εὐθύς. Θ. Ἡμέρα ἡλίου πορείᾳ ἀπ' ἀνατολῶν ἐπὶ δυσμάς. Πλ. Βοιωτοὶ ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν ἐξ Ἄρνης ἀνέστησαν. Θ.*

A. 13. Es können ferner ohne Artikel stehen *ψυχή* und *σῶμα* wie die Theile desselben, nicht bloß in generischer Bedeutung, *δεξιά* und *ἀριστερά*, wie in militairischem Sinne *μέσον, δεξιόν, εὐώνυμον* vgl. § 43, 4 A. 17. *Πλοῦτος ἕνεκα σώματός ἐστι καὶ σῶμα ψυχῆς ἕνεκα. Πλ. Ἔπαιον τῶν μὲν μηρούς, τῶν δὲ χεῖρας, τῶν δὲ κνήμας, τῶν δὲ καὶ ἐπικυπτόντων ἔπαιον τοὺς τραχήλους καὶ τὰ νῶτα. Ξε. Δεξιὰν ἔλαβον καὶ ἔδωκα. Ξε. Μέσον ἔχοντες προσῄεσαν Χάονες. Θ. Εὐώνυμον εἶχον αὐτοῖς Κορίνθιοι. Ξε.*

A. 14. In der Regel ohne Artikel stehen manche adverbartige Formeln mit einer Präposition, wie *ἐν δεξιᾷ* und *ἀριστερᾷ, ἐπὶ (εἰς) δόρυ* speerwärts, rechtshin, *ἐπὶ* und *παρ' ἀσπίδα* schildwärts, linkshin, *ἐπὶ πόδα* rückwärts, das Gesicht dem Feinde zugekehrt u. ä. *Ἐπορεύοντο ἐν δεξιᾷ ἔχοντες τὸν ἥλιον. Ξε. Ἄγει ἐπὶ δόρυ. Ξε. Ἐκέλευε τοὺς ἀπ' οὐρᾶς εἰς δόρυ ἡγεῖσθαι. Ξε. Παρεγγυᾶται εἰς μέτωπον παρ' ἀσπίδα καθίστασθαι. Ξε. Ἐπὶ πόδα ἀνεχώρησαν. Ξε.*

A. 15. Sonst finden sich von localen Begriffen, besonders mit Präpositionen oder Adverbien (*ἔξω, ἐκτός, ἐντός*) verbunden, oft ohne Artikel *ἄστυ, πόλις, ἀκρόπολις, ἀγορά, τεῖχος, (πύλαι), θύραι, ἀγρός, γῆ, μεσόγεια, θάλασσα, μακάρων νῆσοι* u. ä. Bei *γῆ* ist der Artikel überhaupt nur nothwendig, wenn von einem bestimmten Lande die Rede ist; ähnlich bei *θάλασσα*. Vereinzelt ist *διὰ (ἐπὶ, ἀπὸ) νήσων* durch die Inseln (des Aegäischen Meeres). *Ἀπιόντες ᾤχοντο εἰς ἄστυ. Αν. Ὁ Κολωνός ἐστι ἱερὸν Ποσειδῶνος ἔξω πόλεως. Θ. Ταμιεύσας ἐν ἀκροπόλει τὰ ἀριστεῖα ὑφῄρηται ἐξ ἀκροπόλεως. Αη. Περιπατοῦσιν ἑσπέρας ἐν ἀγορᾷ. Αη. Καλλίους ἦσαν αἱ κτήσεις αἱ ἐπὶ τῶν ἀγρῶν ἢ αἱ ἐντὸς τείχους. Ἰσ. Τοὺς κατὰ πύλας φύλακας κτείνουσιν. Θ. Κῦρος προεῖπε τοῖς σατράπαις παιδεύειν τοὺς παῖδας ἐπὶ θύραις. Ξε. Ποῦ ἥδιον θερίσαι ὕδασί τε καὶ πνεύμασι καὶ σκιαῖς ἢ κατ' ἀγρόν; Ξε. Οἱ πάλαι οὐκ ἀδεῶς ἐπεμίγνυσαν οὔτε κατὰ γῆν οὔτε διὰ θαλάσσης. Θ. Οἱ Ἀθηναῖοι θαλάσσης ἔμπειρότατοι ἦσαν. Θ. Προῆλθον τῆς Θρᾴκης ἐς μεσόγειαν. Θ. Ὁ δικαίως τὸν βίον διελθὼν καὶ ὁσίως ἐς μακάρων νήσους ἀπιὼν οἰκεῖ ἐν πάσῃ εὐδαιμονίᾳ. Πλ. Ὁ Φαρνάβαζος ἔπλευσε διὰ νήσων εἰς Μῆλον. Ξε.*

A. 16. Zuweilen ohne Artikel erscheinen ἀρχή und τελευτή, die Superlative (§ 47, 28 A. 11), manche Maaß- und Zahlbezeichnungen, wie μέγεθος, εὖρος, βάθος, ὕψος, πλῆθος u. ä., besonders als Accusative der § 46, 4 A. 2 erwähnten Art, wie auch γένος und γένει, (aber regelmäßig τὸν ἀριθμόν neben ἀριθμῷ) oder eben diese Wörter mit Präpositionen verbunden; ferner ἥμισυ (eig. eine Hälfte) und häufig Zeitangaben mit Cardinalzahlen, beim Datiren fast regelmäßig; so auch bei Aufzählungen. *Συνδήσωμεν τοὔνομα συμπλέξαντες ἀπὸ τελευτῆς ἐπ' ἀρχήν. Πλ. Σκηνὰς αὐτοῖς κατεσκεύασε πλῆθος μὲν ὅσοι ταξίαρχοι ἦσαν, μέγεθος δὲ ὥστε ἱκανὰς εἶναι τῇ τάξει ἑκάστῃ. Ξε. Χαλεπὸν διὰ πλοῦ μῆκος ἐν τάξει μεῖναι. Θ. Ἥμισυ τῆς οἰκίας ᾠχει. Θ. Ἐκκλησία ἐγένετο μαιμακτηριῶνος δεκάτῃ ἀπιόντος. Δη. Ἡ ἀνάστασις τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο. Θ. Δευτέρῳ μηνὶ τὴν πόλιν ἐτείχιζον. Θ. Τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα. Θ.*

A. 17. Ueber das Fehlen des Artikels bei persönlichen Begriffen 3 A. 6—8, bei Abstracten 3 A. 4. 5.

III. Der Artikel generisch gebraucht.

3. In generischer Bedeutung (ἀοριστωδῶς Apollon. συντ. 1, 35 p. 76) wird durch den Artikel ein bloß gedachtes Individuum der Gattung gleichsam als Musterbild zum Vertreter der Gattung gemacht. *Λύπη παροῦσα πάντοτ' ἐστὶν ἡ γυνή. Μέ. Ὁ παῖς πάντων θηρίων ἐστὶ δυσμεταχειριστότατον. Πλ. Οὐ μόνον ὁ γέρων δὶς παῖς γίγνοιτ' ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς. Πλ. — Ὁ σοφιστὴς τυγχάνει ὢν ἔμπορός τις. Πλ. Πονηρὸν ὁ συκοφάντης ἀεί. Δη. — Τὴν τοῦ σπουδαίου πολίτου ἀρετὴν δεῖ ὑπάρχειν πᾶσιν, τὴν δὲ τοῦ ἀνδρὸς τοῦ ἀγαθοῦ ἀδύνατον, εἰ μὴ πάντας ἀναγκαῖον ἀγαθοὺς εἶναι τοὺς ἐν τῇ σπουδαίᾳ πόλει πολίτας. Ἀρλ.*

A. 1. So erhält ein Nomen mit dem Artikel auch als Prädicat den Begriff des echten, wahrhaften, vorzugsweise so zu nennenden. *Ταῦτ' ἐστὶν ὁ προδότης καὶ τὰ τούτοις ὅμοια. Αἰ. Οὗτός ἐστιν ὁ σώφρων καὶ οὗτος ὁ ἀνδρεῖος καὶ φρόνιμος. Πλ. Ἀνεκάλουν Κῦρον τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγαθόν. Ξε. Τὸν καλὸν στρατιώτην ἐμὲ ὠνόμασεν. Αἰ.*

A. 2. Aus jener Bedeutung (3) entwickelt sich der Begriff des Beliebigen: ein schwächeres jeder. *Τῷ τυράννῳ ἔξεστι μὴ πείθεσθαι τοῖς ὀρθῶς λέγουσιν. Ξε. Δεῖ τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρχοντα ἢ τοὺς πολεμίους. Ξε. — Τὴν αὐτὴν ὑπὲρ αὐτοῦ δίκην δέδωκε καθάπερ ἂν τὸν Ἀθηναῖον κτείνῃ. Δη. Ὁ νόμος τὸν ἀνδροφόνον καὶ τὸν ἁλωκότα ἤδη διώρισεν ὡς κολαστέον. Δη.* Vgl. § 44, 1 A. 4 u. 50, 2 A. 5.

A. 3. Abstracte Begriffe werden durch den Artikel in ihrer Gesamtheit als objectivirte Erscheinung oder als bezügliche Aeußerung vorgestellt. *Ἡ δικαιοσύνη ἀρετή ἐστι.*

Πότερον ἀρετὴ ἢ ἀρετή τις; Πλ. Ἡ μωρία δίδωσιν ἀνθρώποις κακά. Εὐ. Ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν. Εὐ. Ἡ ἀρετὴ μᾶλλον ἢ ἡ φυγὴ σώζει τὰς ψυχάς. Ξε. Ἡ εὐλάβεια σώζει πάντα. Ἀρ. Πολλὰ δουλικὰ καὶ ταπεινὰ πράγματα τοὺς ἐλευθέρους ἡ πενία βιάζεται ποιεῖν. Δη. φύσεως κακίας σημεῖόν ἐστιν ὁ φθόνος. Δη.

A. 4. Als bloße Begriffe gefaßt stehen die abstracten oder abstractartig gebrauchten Substantiva auch ohne den Artikel viel häufiger als im Deutschen, wo er oft die mangelnde Casusbezeichnung ersetzt. *Φθόνον σκοπῶν ὅ, τι εἴη λύπην τινὰ αὐτὸν ἐξεύρισκεν ὄντα. Ξε. Ἀρχὴ φιλίας μὲν ἔπαινος, ἔχθρας δὲ ψόγος. Ἰσ. Φόβος μνήμην ἐκπλήσσει. Θ. Δουλοῖ φρόνημα τὸ αἰφνίδιον. Θ. Εἰρήνη ἀργίαν οὐ τρέφει. Αἰ. Ἥκιστα πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ. Θ. Ἀνθρώπου ψυχὴ τοῦ θείου μετέχει. Ξε.*

A. 5. So stehen ohne Artikel oft auch allgemeine Begriffe von Kräften und Fähigkeiten, An- und Einsichten, Künsten und Wissenschaften. *Δόξα καὶ ἐπιμέλεια καὶ νοῦς καὶ τέχνη καὶ νόμος βαρέων καὶ κούφων πρότερα ἂν εἴη. Πλ. Ῥητορικὴ πειθοῦς ἐσι δημιουργός. Πλ. Λογιστικὴ καὶ ἀριθμητικὴ περὶ ἀριθμὸν πᾶσα. Πλ Ἐδοκιμάσαμεν ἀνδρὶ καλῷ κἀγαθῷ ἐργασίαν εἶναι καὶ ἐπιστήμην κρατίστην γεωργίαν. Ξε. Σωκράτης ἐκέλευε λογισμοὺς μανθάνειν. Ξε.*

A. 6. In gleicher Weise können auch persönliche Begriffe in generischer Bedeutung den Artikel haben und entbehren: also (ideell) *θεός, ἄνθρωποι* und (objectiv) *ὁ θεός, οἱ ἄνθρωποι*. Aber nur mit dem Artikel stehen sie, wenn bestimmte Individuen bezeichnet werden: also *ὁ ἀνήρ* oder *ἀνήρ*, wenn z. B. Philippos, *οἱ ἄνθρωποι* wenn etwa vorschwebende Feinde gemeint sind. *Πάντων μέτρον ἄνθρωπος. Πλ. Ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει. Γν. Πᾶν τὸ δαιμόνιον μεταξύ ἐστι θεοῦ τε καὶ θνητοῦ, ἑρμηνεῦον καὶ διαπορθμεῦον θεοῖς τὰ παρ' ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν. Πλ.— Τῶν μὲν φύσει τιμιωτάτων ἄριστον ὁ θεός, τῶν δὲ περὶ γῆν καὶ ἀνθρώπους ὁ βασιλεύς. Στ. Ἀμαθῶς χωροῦσιν αἱ διάνοιαι τοῦ ἀνθρώπου. Θ. Οἱ τὰ περὶ (τοὺς) ἀνθρώπους νόμιμα ποιοῦντες τὰ δίκαια ποιοῦσιν. Ξε.*

A. 7. So kann der Artikel auch bei persönlichen Bezeichnungen von Aemtern fehlen, wenn nicht auf bestimmte Individuen hingewiesen wird. Am häufigsten, ja fast regelmäßig erscheint so (gleichsam als moralische Person betrachtet) *βασιλεύς*, besonders vom Perserkönige [nach Apollon. *συντ.* 1, 42 p. 91, weil es einem Eigennamen gleich scheine]. Dagegen gew. *ὁ μέγας βασιλεύς* (*βασιλεὺς ὁ μέγας*), doch auch ohne Artikel. *Δαρεικὸν ἕκαστος οἴσει τοῦ μηνὸς ὑμῶν, λοχαγὸς δὲ τὸ διπλοῦν, στραιηγὸς δὲ τὸ τετραπλοῦν. Ξε. Πάρεισι περὶ τὴν θυσίαν πολέμαρχοι, λοχαγοί, πεντηκοστῆρες, ξένων στρατίαρχοι, στρατοῦ σκευοφορικοῦ ἄρχοντες καὶ τῶν ἀπὸ τῶν πόλεων δὲ στρατηγῶν ὁ βουλόμενος. Ξε. Πρυτάνεις καὶ στρατηγοὶ ἐχρημάτισαν τὰ ἐκ τῆς ἐκκλησίας ἀνενεγκόντες. Δη.*

A. 8. Bei persönlichen Benennungen von Verwandten wie bei *πατρίς*, wohl auch bei *πόλις* Vaterstadt vgl. 2 A. 15, kann der Artikel fehlen, selbst wenn mit Bezug auf bestimmte Objecte gesprochen wird. Gewöhnlich fehlt er in der Verbindung *παῖδες καὶ γυναῖκες*; regelmäßig in *ἐκ παιδός* und *ἐκ παίδων* von Kindheit an [Ausn. Pl. Ges. 694, d u. 942, c]. *Εἶναι τιμὰς γονέων ἐκγόνοις καλὸς*

θησαυρὸς καὶ μεγαλοπρεπής. Πλ. Ὁ νόμος περὶ ἀδελφοῦ χρημάτων πρῶτον ἀδελφοῖς τε καὶ ἀδελφιδοῖς πεποίηκε τὴν κληρονομίαν. Ἰσαῖ. Τοὺς ἐννέα ἄρχοντας ἀναχρίνετε εἰ γονέας εὖ ποιοῦσιν. Δη. Εἶδε πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς καὶ τὴν ἑαυτοῦ γυναῖκα αἰχμαλώτους γεγενημένους. Ξε. Ἐπετρέψατε αὐτῷ πατρίδα καὶ παῖδας καὶ γυναῖκας. Αν. Ὑμεῖς πόλιν καὶ οἰκίας ἡμῖν παράδοτε. Θ.

A. 9. Wenn in dieſer Weiſe (3) Plurale mit dem Artikel verbunden werden, ſo bezeichnen ſie ſämmtliche Individuen der Gattung. Δὶς παῖδες οἱ γέροντες. Ἀρ. Προσήκει τὰς ἀρετὰς ἀσκεῖν καὶ τὰς κακίας φεύγειν. Ἰσ. Αἱ μὲν ἀπορίαι διὰ τὰς ἀργίας γίγνονται, αἱ δὲ κακουργίαι διὰ τὰς ἀπορίας. Ἰσ.

4. Auch ſubſtantivirte Adjectiva und Participia mit dem Artikel ſtehen häufig in generiſcher Bedeutung. Νικᾷ ὁ μείων τὸν μέγαν δίκαι' ἔχων. Εὐ. Οὐ πανταχῇ ὁ φρόνιμος ἁρμόττειν δοκεῖ. Γν. Σωφροσύνην τίνι ἂν φαῖμεν ἧττον ἢ τῷ ἀκρατεῖ προσήκειν; Ξε. Ἀλλ' εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ. Εὐ. Οὐκ ἀριθμός ἐστιν ὁ ὁρίζων τὸ πολὺ καὶ τὸ ὀλίγον. Ξε. — Ἄγειν ἐπιχειροῦσιν οἱ μὲν καλοὶ κἀγαθοὶ ἐπὶ τὰ ἀγαθά, οἱ δὲ πονηροὶ ἐπὶ τὰ πονηρά. Ξε. Ἐβούλοντο τούς τε ὑμῶν χείρους μηκέτι μᾶλλον γενέσθαι, τούς τε ἀμείνους τὰ ἄξια ἔχειν. Θ.

Ἐν ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος, ἀλλ' ὁ δυναστεύων κατηγορεῖ. Αἰ. Ἱκανόν ἐστι κάλλος ἀνθρώπου ἀναγκάζειν τὸν μὴ βουλόμενον πράττειν παρὰ τὸ βέλτιστον. Ξε. Εἰσὶν εὐτυχέστατοι μὲν οἱ ἐλάχιστα ἐξαμαρτάνοντες, σωφρονέστατοι δὲ οἳ ἂν τάχιστα μεταγιγνώσκωσιν. Ἀνδ. Οὐ ζῶσιν οἵ τι μὴ συνιέντες σοφόν. Γν. — Ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος. Γν. Σωκράτης βασιλεῖς καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη εἶναι. Ξε. Ὁ μὴ ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν τιμῆς ἄξιος. Πλ. Πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς. Γν.— Τὸ ζητούμενον ἁλωτόν, ἐκφεύγει δὲ τἀμελούμενον. Σο. Τὸν κατηγορήσοντα τῶν ἄλλων καὶ πάντας κρινοῦντα αὐτὸν ἀνεξέλεγκτον ὑπάρχειν δεῖ. Δη. Πᾶς τῷ ἀδικουμένῳ βοηθείτω καὶ ἀμυνέτω. Πλ.

A. 1. Wenn gleich hier im Singular meiſt auch der Begriff jeder ſchon enthalten iſt, ſo findet ſich doch auch ein πᾶς (ἅπας) verſtärkend hinzugefügt, ſelten bei Adjectiven, häufiger bei Participien. Πᾶς ὁ ἄδικος οὐχ ἑκὼν ἄδικος. Πλ. Ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν. Σο. — Πᾶς ὁ μὴ δι' ἄδικον πρόφασιν θέμενος τὴν ψῆφον εὐσεβεῖ. Δη. Πᾶν τὸ ἐναντιούμενον τῷ δυναστεύοντι δῆμος ὠνόμασται. Θ. Ὁ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ. Ξε. Ἅπαν τὸ λυποῦν ἐστιν ἀνθρώπῳ νόσος. Γν.

A. 2. Ὁ τυχών eben ſo (4) gebraucht oder auch mit einem Subſtantiv verbunden heißt der erſte beſte. Ὁ παρὰ τοῦ τυχόντος

χρήματα λαμβάνων δεσπότην ἑαυτοῦ καθίστησιν. Ξε. Κρινεῖ τις αὐτὸν πώποτ' ἀνθρώπων μέγαν, ὃν ἐξαλείφει πρόφασις ἢ τυχοῦσ' ὅλον. Εὐ.

A. 3. Mit diesem Gebrauche (4) nicht zu verwechseln sind die Fälle wo der Artikel mit dem Particip einer unbestimmten Person eine ihr eigens bestimmte Handlung zuweist: ein solcher welcher: qualitative Bedeutung. Wenn in Fällen dieser Art das Particip nicht zu einem dastehenden Subject als Prädicat gehört, so kann es als Apposition zu einem (gesetzten oder) gedachten *τὶς* betrachtet werden vgl. 8 A. 2. *Ἤδη δικαστῶν τινων τῶν διαχρινούντων δεησόμεθα. Πλ. Ἀναγκαῖον εἶναί τινα τὸν ἀποδώσοντα καὶ χρινοῦντα τὸ δίκαιον. Ἀρλ. — Ἐάν τι ἐνοχλῇ ἡμᾶς, δεόμεθα τοῦ παύσοντος. Ξε. — Ὁ ἡγησόμενος οὐδεὶς ἔσται. Ξε. Οὐκ ἔστιν ὁ τολμήσων περὶ σπονδῶν λέγειν. Ξε. — Οἱ ἄνδρες εἰσὶν οἱ ποιοῦντες ὅ, τι ἂν ἐν ταῖς μάχαις γίγνηται. Ξε. Ἦσαν οἱ πεισόμενοι αὐτῷ. Ξε.* Vgl. § 56, 2 A. 4.

A. 4. Auch zu einem sachlichen Subject gehörig richtet sich hier der Artikel mit seinem Particip im Genus gewöhnlich nach jenem, während wir das Prädicat als allgemein dinglich durch das Neutrum ausdrücken. *Τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος. Μέ. Τὴν ὀρθότητα καὶ εὐτυχίαν ἐπιστήμη ἐστὶν ἡ παρέχουσα. Πλ. Οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς ἧ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα. Ξε. [Οὐκ ὀφθαλμὸς τὸ χρῖνόν ἐστιν ἀλλὰ νοῦς. Εὐ.]*

A. 5. Dieselbe Bedeutung (4) findet auch statt, wenn zu einem Adjectiv ein die Gattung bezeichnendes Nomen hinzutritt. *Ἐγὼ πάντα ὅσα προσῆκε τὸν ἀγαθὸν πολίτην ἔπρατον. Δη. Τὸ ἄριστον οὐ τοὺς νόμους ἐστὶν ἰσχύειν, ἀλλ' ἄνδρα τὸν μετὰ φρονήσεως βασιλικόν. Πλ. Ἡ κακὴ κρίσις παντὸς κακοῦ αἰτία. Στ.*

IV. Pronomina und Adjectiva mit und ohne Artikel. Prädicat.

A. 6. Hier bemerke man *ὁ τοιοῦτος, ὁ τοιόσδε; ὁ τηλικοῦτος, ὁ τηλικόσδε; ὁ τοσοῦτος* und *ὁ τοσόσδε*, sowohl substantivirt als mit einem Substantiv, so v. a. *ὁ τοιοῦτος* ꝛc. (*ἀνὴρ*) *ὤν* der so geeigenschaftete ꝛc. Mann, wobei man den Begriff seiner Qualität ꝛc. nach zusammengefaßt als Muster vorstellt, auf ein bestimmtes Bild, zu dem die Züge vorliegen oder vorgetragen sind, hindeutend. Hiemit kann sowohl auf ein vorschwebendes Individuum als auf die Gattung hingewiesen werden. Fehlen muß der Artikel wenn zu bezeichnen ist irgend einer der Art ohne deiktische Beziehung. (*Τὸ ποσόν* die Quantität, *τὸ ποιόν* die Qualität bei (Platon und) Aristoteles.) *Σωκράτης ἐπηγγείλατο οὐδενὶ πώποτε τοιοῦτον οὐδέν· πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείροι τοὺς νέους; Ξε. Οὐχ ἡγοῦμαι δικαίαν εἶναι τὴν ἀπολογίαν τὴν τοιαύτην. Δη. Εἴ τις ἀγαθόν τι τὴν πατρίδα ποιεῖν πειρᾶται, διὰ τί ὁ τοιοῦτος ἄλλῳ τοιούτῳ οὐκ ἂν δύναιτο συναρμόσαι; Ξε. Ἡ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ ἆθλα ἑτέροις δίδωσιν. Θ. Πρέπει οὐδὲν τῶν τοιούτων τοῖς τηλικούτοις. Ἰσ. Ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος. Σο. Τὴν ὀρθότητα τῶν τοιούτων ἡ ἰσότης ἂν ἐξεργάζοιτο τοῦ τε τοσούτου καὶ τοῦ τοιούτου πρότερον, ἀλ·*

λ' οὐχ ἡδονή. Πλ. (Σῶμα οὐ μόνον κατὰ τὸ ποσόν, ἀλλὰ καὶ κατὰ τὸ ποιὸν αὐξάνεται. Ἀρλ.)

A. 7. Proleptisch steht der Artikel bei diesen Pronominen auch mit Bezug auf eine zu gebende Bestimmung; eben so in Fragen ὁ ποῖος; (doch auch bei wirklich folgender Bestimmung oft bloß *ποῖος;*) und selbst τὸ τί; (nicht ὁ τίς;), dies besonders nur bei Ar. *Ὀρθότατα λέγεις τό γε τοσοῦτον, ὅτι τὰ τῆς φήμης θαυμαστήν τινα δύναμιν εἴληχεν. Πλ. Οἶμαί σε ὁμολογήσειν μοι τὸ τοιόνδε. Τὸ ποῖον; Ἐπειδή ἐστιν ἐναντίον καλὸν αἰσχρῷ, δύο αὐτὼ εἶναι. Πλ. Λέγεις τὴν ποίαν κατάστασιν ὀλιγαρχίαν; Τὴν ἀπὸ τιμημάτων. Πλ. Δεῖ ξευρεῖν τὸ ποῖον μέρος ἂν εἴη τοῦ δικαίου τὸ ὅσιον. Πλ. Αἱ ποῖαι πολιτεῖαι ταῖς ποίαις ἁρμόττουσιν; Ἀρλ. (Λαβὲ τὸ τοιόνδε. Ποῖον; Πλ.) [Οὐκ ἐνεθυμήθης; Τὸ τί; Ὡς σφόδρα μ' ἔδεισεν. Ἀρ.]*

A. 8. *Ἕτερος* alter auf ein bestimmtes Individuum hinweisend erfordert den Artikel; in generischer Bedeutung kann es mit und ohne Artikel stehen. Da *ἕτερος* dem *ὁ αὐτός* entgegensteht, so kann *οἱ ἕτεροι* auch die Gegner, Feinde bezeichnen. *Ἀπέθανεν ὁ ἕτερος στρατηγός. Θ. — Οὐ γίγνεται τῶν τοιούτων ἕτερος ἑτέρου μαθητής, καὶ τὸν ἕτερον ὁ ἕτερος οὐδὲν ἡγεῖται εἰδέναι. Πλ. Οὐδὲν τὸ ἕτερον οἷον τὸ ἕτερον. Πλ. — Ἐνόμιζον δι' αὐτὸ οὐχ ἡσσῆσθαι δι' ὅπερ οὐδ' οἱ ἕτεροι νικᾶν. Θ.*

A. 9. *Ἄλλος* alius (mit der Idee der Absonderung) wird mit dem Artikel meist nur dann verbunden, wenn das ein Ganzes Ergänzende zu bezeichnen ist. [Apollon. *συντ.* 1, 11 p. 43 s.] Für unser einer (mit einem Substantiv) den andern ꝛc. setzt der Grieche bloß das Substantiv wiederholt (ohne Artikel); *ἄλλος ἄλλον* heißt der eine diesen, der andere jenen und so auch in andern Casus, wie nicht minder mit Adverbien *ἄλλος ἄλλη* der Eine hier, der Andere dort ꝛc. *Οἱ Ἀθηναῖοι ἄρχειν τῶν ἄλλων ἀξιοῦσιν. Θ. Παυσανίας γνώμην ἐποιεῖτο βασιλεῖ Σπάρτην τε καὶ τὴν ἄλλην Ἑλλάδα ὑποχείριον ποιῆσαι. Θ. — Χεὶρ χεῖρα νίζει, δάκτυλοι δὲ δακτύλους. Γν. — Ἄλλοισιν ἄλλος θεῶν τε κἀνθρώπων μέλει. Εὐ. Κατέθεον ἄλλοι ἄλλοθεν. Θ.*

A. 10. *Ὁ ἄλλος, οἱ ἄλλοι* können auch mit Bezug auf einen erst folgenden Gegensatz gebraucht werden. *Τῷ μὲν ἄλλῳ στρατῷ ἡσύχαζεν, ἑκατὸν δὲ πελιασιὰς προπέμπει. Θ.*

A. 11. *Ἄλλος*, selten *ἕτερος*, wird mit einem Substantiv attributiv auch da verbunden wo dieses dem Gedanken nach appositiv hinzugefügt sein sollte, also z. B. *οἱ ἄλλοι σύμμαχοι* für *οἱ ἄλλοι, οἱ σύμμαχοι; ἡ ἄλλη παρασκευή* für *τὰ ἄλλα, ἡ παρασκευή* ꝛc. Oft sind dann *ἄλλος* und *ἕτερος* durch außerdem zu übersetzen. *Οὐκ ἦν χόρτος οὐδ' ἄλλο δένδρον οὐδέν. Ξε. Εὐδαιμονίζεται ὑπὸ τῶν πολιτῶν καὶ τῶν ἄλλων ξένων. Πλ. Γέρων χωρεῖ μεθ' ἑτέρου νεανίου. Ἀρ.*

A. 12. Bei *πολύς* und *ὀλίγος* kann der Artikel anaphorische Bedeutung haben vgl. 2 A. 1. Außerdem aber heißt *οἱ πολλοί* die Menge als zusammengefaßte Masse gedacht, vorzugsweise (wie auch *τὸ πλῆθος*) von der demokratischen Masse, sowohl in einem bestimmten Staate als generisch gedacht; eben so *οἱ ὀλίγοι* die Wenigen als Gesamtheit gedacht, vorzugsweise von den Oligarchen. Daneben heißt *οἱ πολλοί* auch die Meisten im Gegensatze zu Einzelnen die man sich als von der Gesamtheit abgeschieden denkt, wie *τὸ πολύ* der größte Theil,

die Hauptmasse, z. B. τοῦ στρατεύματος, etwa im Gegensatze zu detachirten Corps; dagegen οἱ πλέονες, τὸ πλέον die Mehrzahl, im Gegensatze zu einer (nachstehenden) Minderzahl, Minorität; οἱ πλεῖστοι, τὸ πλεῖστον die Meisten, der größte Theil in so fern man die größte Anzahl von Individuen bezeichnet. *Δεῖ περὶ τῆς ἀρχῆς παντὸς πράγματος παντὶ ἀνδρὶ τὸν πολὺν λόγον εἶναι καὶ τὴν πολλὴν σκέψιν εἴτε ὀρθῶς ὑπόκειται εἴτε μή. Πλ. Ἅπας πονηρὸς οἶνος ὃ πολύς ἐστ' ἀεί. Φιλ. — Εἶναι ὑπόλαβε καὶ σὲ τῶν πολλῶν ἕνα. Γν. Οἱ Ἀθηναῖοι τῷ μὲν πλήθει ἐβοήθουν, ταῖς δὲ δυναστείαις ἐπολέμουν, δεινὸν ἡγούμενοι τοὺς πολλοὺς ὑπὸ τοῖς ὀλίγοις εἶναι. Ἰσ. (Πρὸς ὀλιγαρχουμένους οὐδὲ τὴν φιλίαν ἀσφαλῆ νομίζω· οὐ γὰρ ἔσθ' ὅπως ὀλίγοι πολλοῖς καὶ ζητοῦντες ἄρχειν τοῖς μετ' ἰσηγορίας ζῆν ἠρημένοις εὔνοι γένοιντ' ἄν. Δη.) — Οἱ πολλοὶ κακοὶ γίγνονται τῶν δυνασιῶν. Πλ. Χρόνος δοκεῖ τὰ πολλὰ καλῶς βασανίζειν. Πλ. Τῶν πολεμίων τὸ μὲν πολὺ ἔμενε, μέρος δ' αὐτῶν ἀπήντα. Ξε. Σώζει τὰ πολλὰ σώματ' ἡ πειθαρχία. Σο. — Κύριον τὸ τοῖς πλείοσι δόξαν. Ἀρλ. Πολλάκις τὸ ἔλασσον πλῆθος δεδιὸς ἄμεινον ἠμύνατο τοὺς πλέονας. Θ. Τὸ πλέον τοῖς ὀλίγοις ἢ τὸ ἔλασσον τοῖς πᾶσι ἐδούλωσεν. Θ. — Σχεδὸν οἱ πλεῖστοι φαῦλοι κριταὶ περὶ τῶν οἰκείων. Ἀρλ. Τοῦ ἱππικοῦ τὸ πλεῖστον Ὀδρύσαι παρείχοντο. Θ.*

A. 13. Aehnlich findet sich der Artikel zuweilen bei Comparativen, selbst wenn ἤ oder ein diesem synonymer Genitiv darauf folgt. Vgl. 2 A. 8. *Ἀεὶ τὸ χεῖρον τοῦ βελτίονός ἐσιν ἕνεκα. Ἀρλ. Ζητῶν τὰ πλείον' εἶτα πάντ' ἀπώλεσεν. Εὐ. — (Ἐν τῷ λέγειν κἀκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια. Σο. Τὰ μείζω τῶν μέσων τίκτει νόσους. Γν. Τὰ πλείω χρηστὰ τῶν κακῶν ἔχεις. Εὐ.)*

A. 14. Auch das Prädicat gestattet den Artikel, sowohl in deiktischer als in generischer Bedeutung. *Ὁ πρᾳότερός ἐστι τῶν καθαρμῶν ὁ τοιόσδε ἡμῖν. Πλ. Αἱ πόλεις εἰσὶν ἄνδρες, οὐκ ἐρημία. Εὐ. — Ἡγούμεθα τὸν θάνατον εἶναι τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγὴν καὶ εἶναι τοῦτο τὸ τεθνάναι. Πλ. Τὴν ταμίαν ἐποιησάμεθα ἐπισκεψάμενοι ἥτις ἡμῖν ἐδόκει ἐγκρατεστάτη γαστρός. Ξε. Ἱκανὸν παρέχομαι τὸν μάρτυρα τὴν πενίαν. Πλ. — Οἱ ἀδικούμενοι πάντες εἰσίν. Πλ. Οἱ τιθέμενοι τοὺς νόμους οἱ ἀσθενεῖς ἄνθρωποί εἰσι καὶ οἱ πολλοί. Πλ. Τὰ ἀγαθὰ φὴς εἶναι τὰς ἡδονάς, κακὰ δὲ τὰς ἀνίας. Πλ.*

V. Substantivirungen durch den Artikel.

5. Substantivirt stehen mit dem Artikel (ohne zugehöriges Nomen) verbunden Adverbia, besonders des Raumes und der Zeit, von ihm regierte Genitive, locale Dative wie Präpositionen mit ihren Casus.

A. 1. Das Masculinum und Femininum des Artikels bezeichnen, so gebraucht, Personen und können, meist im Plural erscheinend, von Adverbien in der Regel nur die localen und temporalen annehmen. (*Οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾷ, ἔχομεν. Θ.*) *Οἱ μὲν κακοὶ κακόν τι ἐργάζονται ἀεὶ τοὺς μάλιστα πλησίον ἑαυτῶν, οἱ δὲ ἀγαθοὶ ἀγαθόν. Πλ. Τίμαιος οὐδενὸς ὕστερος ἦν τῶν ἐκεῖ. Πλ. Οἵ τ' ἔνδον συνελαμβάνοντο καὶ οἱ ἐκτὸς*

κατεκόπησαν. Ξε. Τισσαμέρνης στρατηγὸς ἦν τῶν κάτω. Θ. — Ἦσαν πολλοὶ τῶν πρότερον σπουδαῖοι. Δη. Τοῦτο καὶ τῶν νῦν εἰσὶν οἳ κατανενοήκασι καὶ τῶν πάλαι. Πλ. Σωκράτης ἀνὴρ ἦν τῶν τότε ἄριστος. Πλ. Οὐκ ἀμάρτυρον τὴν δύναμιν παρασχόμενοι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα. Θ. Ὁ χρόνος ἅπαντα τοῖσιν ὕστερον φράσει. Εὐ.

A. 2. Ueber ὁ, ἡ mit dem Ge. § 47, 5 A. 2. Am gewöhnlichsten findet sich so der Ge. von reflexiven, nie der von persönlichen Pronominen. Ὁ μὴ αὑτοῦ φύσει, ἀλλ' ἄλλου, ἄνθρωπος δέ, οὗτος φύσει δοῦλός ἐστιν. Ἀρ.

A. 3. Der locale Dativ mit ὁ, ἡ findet sich in der Verbindung οἱ Μαραθῶνι u. ä. Τὰς ἀρετὰς ἐκείνας οἱ Μαραθῶνι καὶ Σαλαμῖνι παρέσχοντο οἱ ἡμέτεροι πρόγονοι. Δη.

[A. 4. Der Ac. τὸν ἐμέ, τὸν σέ, τὸν ἑαυτόν, (τοὺς ὑμᾶς) findet sich einige Male (bei Plato), um die Begriffe ἐμέ ꝛc. als vorher erwähnte oder überhaupt kenntliche auszuzeichnen. Τὸν σὲ καὶ ἐμὲ καὶ Γοργίαν καὶ Φίληβον χρὴ συχνὰ χαίρειν ἐᾶν. Πλ.]

A. 5. Von Präpositionen finden sich mit ὁ, οἱ verbunden besonders die welche ein Befinden in, bei oder eine Verbindung mit (auch Abhängigkeit von) dem Object bezeichnen. Eben so finden sich οἱ ἔκ, ἀπό, παρά τινος in räumlicher Bedeutung, so wie οἱ ἀπό (ἔκ) τινος Jemandes Nachkommen; außerdem temporale Formeln: wie οἱ ἐπί τινος und οἱ κατά τινα die Zeitgenossen des —. Οἱ Ἀθηναῖοι ἐν τῷ δημοσίῳ σήματι θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλήν γε τοὺς ἐν Μαραθῶνι. Θ. Οἱ ἐν τῇ ἡλικίᾳ εὐέλπιδες ἦσαν. Θ. Παραπλήσια οἱ ἐπὶ τῶν νεῶν ἔπασχον. Θ. Ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρᾳ. Θ. Οἱ πρὸς τοῖς Κερκυραίοις ἐπιβοηθοῦσιν. Θ. Οἱ κατὰ τὸ στόμα ἔτι ἐλύπουν. Ξε. — Βασιλεὺς καὶ οἱ σὺν αὐτῷ διώκει, καὶ οἱ μετὰ Ἀριαίου οὐκέτι ἵστανται. Ξε. Τοῖς παρ' ἑαυτῷ παρήγγειλε θεῖν. Ξε. Ὥσπερ αὐτοὶ ἀξιώσετε ἄρχειν τῶν ὑφ' ὑμῖν, οὕτω καὶ αὐτοὶ πειθώμεθα οἷς ἂν ἡμῖν καθήκῃ. Ξε. — Ἦκον οἱ παρὰ τοῦ Νικίου. Θ. Πόλεμος ἐπ' Ἐρεχθέως ἐγένετο πρὸς τοὺς ἐκ τῆς ἐχομένης ἠπείρου πάσης. Ξε. Πρὸς τοὺς ἀπὸ τοῦ Ὀλυμπιείου ἀντεπεξήεσαν. Θ. Vgl. 8 A. 14. — (Οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρὶ ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα τῶν ἐξ ἑαυτοῦ. Μέ.) Οἱ ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος ἀτελεῖς ἦσαν. Δη. — Ἐπαινοῦσι τοὺς ἐφ' αὑτῶν ἄνδρας χρηστοὺς γεγενημένους. Ἰσ. Ἀγησίλαος μάλιστα τῶν καθ' ἑαυτὸν εὐκλεὴς ἐγένετο. Ξε.

A. 6. Οἱ περί und οἱ ἀμφί mit dem Ac. eines Eigennamens bezeichnen die genannte Person mit ihren Umgebungen, (Untergebenen, Begleitern, Genossen, Anhängern ꝛc.), ja auch die Person vorzugsweise. [Bloße Umschreibung dieser allein sind jene Formeln erst bei Spätern.] Οἱ ἀμφί τινα bedeutet auch der Genannte und ihm ähnliche Männer. Οἱ ἀμφί, περὶ Νικίαν στρατηγοί, πρέσβεις u. ä. ist zu übersetzen: N. und seine Mitfeldherren, Mitgesandten. Κῦρος προσεκυνεῖτο ὑπὸ τῶν ἀμφ' αὐτόν. Ξε. Οἱ ἀμφὶ Ἀριστοτέλην καὶ Μελάνθιον καὶ Ἀρίσταρχον ἐβούλοντο ὑφ' αὑτοῖς τὴν πόλιν ποιήσασθαι. Ξε. — Σοφίᾳ τινὶ ἡγοῦντο ταῖς πόλεσιν οἱ ἀμφὶ Θεμιστοκλέα. Πλ. — Ἐπέστη ὁ Κῦρος σὺν τοῖς περὶ αὐτόν. Ξε. Οἱ περὶ Ἀριαῖον ἧττον τοῖς Ἕλλησι προσεῖχον

τὸν νοῦν. Ξε. Ἐτύγχανον οἱ περὶ Νικίαν στρατηγοὶ ἄρτι τὴν ἀρχὴν παρειληφότες. Θ.

A. 7. Formeln wie *οἱ ἀπό, ἐκ Φυλῆς* die von Phyle (gegen die Dreißig ausgezogenen) haben sich, gleichsam nachwirkend, stereotyp erhalten, auch wo der genannte Platz nicht mehr als Aufenthaltsort der Personen zu denken ist. *Θρασύβουλος τῶν ἐκ Πειραιῶς καὶ ἀπὸ Φυλῆς ἦν. Δη.*

A. 8. Außer den A. 5 angegebenen Verbindungen findet sich nur sehr Vereinzeltes der Art, wie *οἱ διὰ πλείστου* die Entferntesten Thuc. 4, 115. Namentlich sind unstatthaft Ausdrücke wie *οἱ παρά, εἰς, πρός, ἐπί τινα* für *οἱ παρά* ꝛc. *τινα πεμφθέντες.* Ausdrücke wie *οἱ μέχρι τῆς πόλεως* oder *οἱ ἄνευ σοῦ* ꝛc. ließen sich eher denken als belegen.

A. 9. Ueber den elliptischen Gebrauch des *ὁ, ἡ* § 43, 3 A. 4. 5. Auch bei Schwüren setzt man zuweilen bloß *μὰ τόν*, indem man den Namen der Gottheit aus irgend einem Bedenken zurückhält. *Μὰ τὸν· ἐγὼ μὲν οὐκ ἂν ἐπειθόμην. Ἀρ.* In einem andern Casus folgt mit umgewandelter Fügung dem Artikel sein Nomen. Dem. 18, 20: *συνηγωνίσατο Φιλίππῳ ἢ τῶν ἄλλων Ἑλλήνων-εἴτε χρὴ κακίαν εἴτε καὶ ἄγνοιαν εἴτε καὶ ἀμφότερα ταῦτ' εἰπεῖν.*

A. 10. Das substantivirte Neutrum des Artikels erscheint nicht bloß mit Adverbien des Raumes und der Zeit, sondern im Singular auch mit andern. *Ἀστρονομία ἀναγκάζει ψυχὴν εἰς τὸ ἄνω ὁρᾶν καὶ ἀπὸ τῶν ἐνθένδε ἐκεῖσε ἄγειν. Πλ. Διέβη εἰς τὸ πέραν. Ξε. Μουσικὴ καταδύεται εἰς τὸ ἐντὸς τῆς ψυχῆς. Πλ. Δεῖ γυναῖκα σώζειν τὰ ἔνδον. Πλ. — Οὐκ ἐκ τοῦ ποτὲ εἰς τὸ ἔπειτα ὑπερβήσεται τὸ νῦν. Πλ. Ῥᾷον ἠμύναντο ἢ ἐν τῷ πρίν. Θ. — Τὸ λίαν ἧσσον ἐπαινῶ τοῦ μηδὲν ἄγαν. Εὐ. — Ὁ πένης τοῦ εὖ τητώμενος οὐκ οἶδεν ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων. Εὐ. Τὴν ὀρθότητα καὶ τὴν ὠφέλειαν καὶ τὸ εὖ καὶ τὸ καλῶς ἡ ἀλήθειά ἐστιν ἡ ἀποτελοῦσα. Πλ. Τὸ φανερῶς τοῦ λάθρα κρεῖττον. Δη. Τὰς ἡδονὰς τῷ σφόδρα καὶ τῷ μᾶλλον ὑπερεχούσας ὁρᾷς. Πλ.*

A. 11. Ueber *τό, τά* mit dem Ge. § 47, 5 A. 9—11. Sehr selten erscheinen sie bei einem Da. *Πᾶσα πόλις φύσει ἐστίν· — φανερὸν ὅτι τῶν φύσει ἡ πόλις ἐστίν. Ἀρλ. Οἱ δοῦλοι οὐ τὰ ἐρωτώμενα λέγουσιν ἀλλὰ τὰ κύκλῳ. Ἀρλ.*

A. 12. Die Substantivirung des *τό* und *τά* mit Präpositionen ist viel ausgedehnter als die des Masc. (und Fem.), hin und wieder sogar bei dem Verhältnisse der Richtung vorkommend. *Περιέπλευσαν ἐς τὸ πρὸς Σκιώνης. Θ. Ἀφεὶς τὸ ἐς τὴν Χίον ἔπλει ἐς τὴν Καῦνον. Θ. Ἔχει τινὰ τὸ μετὰ πολλῶν κούφισιν. Θ. Τὸ μετὰ τοῦτο διέλθωμεν. Πλ. Χαλεπῶς ἔφερε τὸ περὶ τῆς ὀλιγαρχίας. Θ. Χαλεπώτατον τὸ περὶ τοὺς λόγους. Πλ. Ὁ πόλεμος ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν βίαιος διδάσκαλος. Θ. Τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω. Θ. — Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον. Εὐ. Στρέφει δὲ πάντα τὰν βίῳ μικρὰ τύχη. Γν. Νέοι γίγνεσθε οὐδὲν εἰδότες οὔτε τῶν τῇδε οὔτε τῶν παρ' ὑμῖν. Πλ. Ἐν τοῖς περὶ τοῦ πολέμου ἄτακτα ἅπαντα. Πλ. Τὰ περὶ τὸν πόλεμον τῆς εἰρήνης ἕνεκα δεῖ εὖ τίθεσθαι. Πλ. Γυναῖκες τὰ εἰς γάμους οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν. Εὐ.*

A 13. Auch wenn Ausdrücke wie *τὸ νῦν, τὸ ἐκ τοῦδε* und eben so

adjectivische, wie τὸ ἀρχαῖον, τὰ λοιπά als Ac. der § 46, 3 A. 2 erwähnten Art gebraucht werden, hat der Artikel seine Bedeutung. So ist τὸ νῦν so v. a. τὸν νῦν χρόνον, die Gegenwart als ein für sich Bestehendes und Vollständiges betrachtet im ausgesprochenen oder gedachten Gegensatze zu einem andern Zeitraume. Bei dem Plural τά (νῦν, τότε ꝛc.) wird an eine Mehrheit von Erscheinungen gedacht. Dies ist auch auf locale Ac. der Art anzuwenden. Ἐμάχοντο περὶ τῆς ἰδίας ἕκαστος τὸ μὲν αὐτίκα σωτηρίας, τὸ δὲ μέλλον ἐλευθερίας. Θ. Ἐκείνους ἐδίδασκε κελεύων λέγειν τὰ μὲν ἀπὸ (ἐκ) τοῦ παραχρῆμα, τὰ δὲ βουλευσαμένους. Ξε. Ἐμέ τις καὶ πάλαι καὶ τὰ νῦν ἠτιημένον ἂν εὕροι. Πλ. Τὸ πάλαι τύραννος ὁ Ἔρως λέγεται. Πλ. Πᾶς ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τὸ πρίν, οὐ ἂν Ἔρως ἅψηται. Πλ. Τί χρὴ ποιεῖν τὸ ἐκ τοῦδε. Ξε. — Οἱ Τημενίδαι τὸ ἀρχαῖον ἦσαν ἐξ Ἄργους. Θ. Ἡμῶν ἡ πόλις τὸ μὲν παλαιὸν ὑπὸ τῶν τυράννων ἐδουλώθη, τὸ δ' ὕστερον ὑπὸ τῶν τριάκοντα. Λυκ. Οἱ τὰ πρῶτα ἐξηπατημένοι τὰ λοιπὰ οὐ πιστεύσουσιν αὐτῷ. Δη. Σικανοὶ οἰκοῦσι τὰ πρὸς ἑσπέραν τὴν Σικελίαν. Θ. Ἡ πόλις εἰρήνην τὰ περὶ τὴν χώραν ἄγει. Ἰσ.

6. Mit dem Infinitiv, der schon an sich substantivartig ist, verbindet sich der Singular des Artikels τό in allen Casus. Die eigenschaftliche Bestimmung die etwa hinzutritt ist ein Adverbium; von Pronominaladjectiven jedoch das Neutrum, namentlich αὐτό. Eben so können τοῦτο, ταῦτα ꝛc. auf Infinitive zurückweisen. Ueber die Ankündigung eines Infinitivs durch τοῦτο ꝛc. § 51, 7 A. 4 u. 57, 10 A. 7. Τὸ κολάζεσθαι τῇ ψυχῇ ἄμεινόν ἐστιν ἢ ἡ ἀκολασία. Πλ. Καλοῦσιν ἀκολασίαν τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι. Πλ. Τὸ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα. Ἰσ. Νίκησον ὀργὴν τῷ λογίζεσθαι καλῶς. Γν. — Ἥδεται ὁ φρονῶν αὐτῷ τῷ φρονεῖν. Πλ. Τὸ τῇ ἐπιμελείᾳ περιεῖναι τῶν φίλων καὶ τῷ προθυμεῖσθαι χαρίζεσθαι, ταῦτα ἔμοιγε μᾶλλον δοκεῖ ἀγαστὰ εἶναι. Ξε.

A. 1. Einen Ge. kann der Infinitiv auch wenn durch τό substantivirt nicht regieren, außer dem Falle § 47, 10 A. 2. Als Object hat der substantivirte Inf. den Casus welchen sein Verbum überhaupt regiert. Ueber das Subject und Prädicat beim Infinitiv § 55, 2. Οἱ πολλοὶ ὥρμηκότες ἐπὶ τὸ σκοπεῖν τὰ τῶν ἄλλων πράγματα οὐ τρέπονται ἐπὶ τὸ ἑαυτοὺς ἐξετάζειν. Ξε. Τῶν ἀρχόντων οἵτινες ἂν ἀπιώτατοι ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσιν. Ξε. Ἀγησίλαος οὐχ οὕτως ἐπὶ τῷ ἄλλων βασιλεύειν ἢ ἐπὶ τῷ ἑαυτοῦ ἄρχειν ἐμεγαλύνετο. Ξε. (Nach dem Artikel kann auch ein hypothetischer, relativer oder temporaler Satz eingeschoben werden, wie Dem. 18, 95. 19, 44, Xen. Dek. 13, 6.)

A. 2. Uebersetzen müssen wir den durch τό substantivirten Inf., besonders die obliquen Casus, oft durch Conjunctionen und entsprechende Sätze z. B. τό — dies daß —, τῷ — dadurch daß —, διὰ τὸ — deshalb weil —, ἐκ τοῦ — daraus daß —, ἐπὶ und πρὸς τό — dazu daß —, um zu —, ἐπὶ τῷ — darüber daß, dazu daß — ꝛc. Τῶν ἀνθρώπων οἱ πλεῖστοι κτῶνται μὲν τἀγαθὰ τῷ καλῶς βουλεύεσθαι καὶ μηδενὸς καταφρονεῖν, φυλάττειν δ' οὐκ ἐθέλουσι

τοῖς αὐτοῖς τούτοις. Δη. Τὰ πλείω ὑμᾶς τῶν πραγμάτων ἐκπέφευγε τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, οὐ τῷ μὴ δύνασθαι. Δη. Διὰ τὸ εἰδέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ πάσχουσιν οἱ ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖστα κακά. Ξε. Σωκράτης ἐτεκμαίρετο τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχὺ μανθάνειν οἷς προσέχοιεν. Ξε. Ἆρ' ἤδη τοῦθ' ἱκανὸν πρὸς τὸ εὐδαίμονά τινα ποιῆσαι, τό, τε κεκτῆσθαι τἀγαθὰ καὶ τὸ χρῆσθαι αὐτοῖς; Πλ. Αἰσχρὸν τοὺς ἐμπόρους τοιαῦτα πελάγη διεκπερᾶν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς καιὰ γῆν πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν αὐτῶν διάνοιαν. Ἰσ.

A. 3. Entbehren kann der ſubſtantivirte Infinitiv den Artikel nur als Nominativ oder Accuſativ, nie wenn er von einer Präpoſition abhängt. [Doch *ἀντὶ ἄρχεσθαι* Her. 1, 210 vgl. 6, 32. 7, 170, wo aber *ἀντί* mehr adverbial iſt.] Wenn er fehlt, ſo drückt der Infinitiv die reine Idee des Verbums aus, eine bloß gedachte, z. B. mögliche, vorausgeſetzte, nothwendige Handlung bezeichnend, oft unſer wenn man —. Der Artikel dem Infinitiv beigefügt hat eine ſeiner gewöhnlichen Bedeutungen: er kann auf eine vorhergegangene Aeußerung zurückweiſen (vgl. 2, 6), kann etwas als ein Notoriſches bezeichnen (2, 1) oder auch die Idee als objectivirte Erſcheinung vorſtellen (3, 3 vgl. Plat Gorg. 451, e.) *Τὰ δύο πάθη περὶ θεοὺς ἔμεινέ τισι, τὸ τοὺς θεοὺς εἶναι μέν, φροντίζειν δὲ οὐδὲν τῶν ἀνθρωπίνων. Πλ. Τὸ εἴργειν ἐστὶν ἀφ' ὧν ἡ ψυχὴ ἐπιθυμεῖ κολάζειν. Πλ. Ὁ ποιητικὸς λόγος ὑμνεῖται, τὸ χαλκᾶ καὶ σιδηρᾶ δεῖν εἶναι τὰ τείχη μᾶλλον ἢ γήινα. Πλ. Εὖ λέγεται τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελομένους. Πλ. — Ὁ ἐπιεικὴς ἀνὴρ τῷ ἐπιεικεῖ τὸ τεθνάναι οὐ δεινὸν ἡγήσεται. Πλ. Τὸ γυναῖκ' ἔχειν μερίμνας τῷ βίῳ πολλὰς φέρει. Μέ. Ἔστιν τὸ τολμᾶν ὦ φίλ' ἀνδρὸς οὐ σοφοῦ. Μέ. Μεγάλη δήπου τὸ ἐξαμαρτάνειν δυσπραξία ἐστίν, ἀλλ' ἔστιν ἐν τῷ κοινῷ πᾶσιν ἀνθρώποις καὶ ἐξαμαρτάνειν τι καὶ κακῶς πρᾶξαι. Ἀνδ. — Μακάριόν ἐστιν υἱὸν εὔτακτον τρέφειν. Μέ. Πόλεώς ἐστι θάνατος ἀνάστατον γενέσθαι. Λυκ. — (Ἔστιν ἡ μὲν εὐμαθία ταχέως μανθάνειν, ἡ δὲ δυσμαθία ἡσυχῇ καὶ βραδέως. Πλ.)*

A. 4. Ohne Artikel erſcheint der Infinitiv regelmäßig in Verbindung mit prädicativ gebrauchten Subſtantiven, wie *ὥρα, καιρός, ἀκμή, σχολή, ἀνάγκη, ἐλπίς, κίνδυνος* ꝛc. (*ἐστί, γίγνεται*). Vgl. § 55, 3 A. 1. *Ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν. Εὐ. Ἐμοὶ δοκεῖ οὐχ ὥρα εἶναι ὑμῖν καθεύδειν. Ξε. Ἐνταῦθ' ἐσμὲν ἵν' οὐκέτ' ὀκνεῖν καιρός, ἀλλ' ἔργων ἀκμή. Σο. Σοὶ ἀκμὴ φιλοσοφεῖν. Ἰσ. Οὐ σχολὴ κάμνειν. Πλ. Φέρειν ἀνάγκη τὰς παρεστώσας τύχας. Εὐ. Ἐλπὶς ἐν τοῖς πολλοῖς ὄντα τυχεῖν τὸν ἄξιον τῆς σῆς φιλίας. Πλ. Οὐ σμικρὸς κίνδυνός ἐστιν ἐξαπατηθῆναι. Πλ. Τοὺς Ἀθηναίους πλεονεκτεῖν πολλὴ ξυγγνώμη. Θ. Αὐτὸν εὖ ποιεῖν παντὶ ξυγγνώμη. Ξε. Ἀρχαῖός ἐστι νόμος κάλλιστος τοῖς μὴ ἔχουσι διδόναι τὸν βασιλέα. Ξε. (Κατὰ τὴν ἀγορὰν ἀψευδεῖν νόμος γέγραπται. Δη.)*

ὕβριν τὸ ζῆν φέρει. Γν. Προσήκει ὑμᾶς βοηθεῖν οὐχ οἵτινες ἂν δυστυχεστάτους σφᾶς αὐτοὺς ἀποδείξωσιν. Ἰσ. Ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε. Θ. Οἶδα ξυγγενομένους ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες. Πλ. Σωκράτης τοὺς λαμβάνοντας τῆς ὁμιλίας μισθὸν ἀνδραποδισιὰς ἑαυτῶν ἀπεκάλει διὰ τὸ ἀναγκαῖον αὐτοῖς εἶναι διαλέγεσθαι παρ' ὧν ἂν λάβοιεν τὸν μισθόν. Ξε.

A. 4. Relative Sätze als Genitive. Ἀμελεῖς ὧν δεῖ σε ἐπιμελεῖσθαι. Πλ. Ὧν ἔργῳ πεῖραν εἰλήφατε τί δεῖ τοῖς λόγοις πιστεύειν. Δη. Ἢ θίγω δῆθ' οἵ μ' ἔφυσαν. Εὐ. Αἱ νῖκαι ἐν ταῖς πολεμικοῖς ἔργοις οὐκ εἰσὶν ὁπότεροι ἂν πλείονα ὄχλον ἀπαριθμήσωσιν. Ξε. Ἐπιζητεῖ βασιλεὺς ἤν τις ἀπῇ οἷς παρεῖναι καθήκει. Ξε. Ἴσασι τὴν δύναμιν ἐφ' οὓς ἂν ἴωσιν. Ξε.

A. 5. Daß der Grieche sich solche Sätze wirklich wie zu einem Begriffe verschmolzen dachte erhellt daraus daß er sie selbst durch καί mit Nominen verband. Ἐγὼ καὶ ὢν ἐγὼ κρατῶ μενοῦμεν παρὰ σοί. Ξε. Οἵ τε ἀφιστάμενοι καὶ ἀφ' ὧν διακρίνονται ἴσοι εἰσίν. Θ. Ἔχομεν καὶ γῆν πολλὴν καὶ οἵτινες ταύτην ἐργαζόμενοι θρέψουσιν ἡμᾶς. Ξε. Ὀρθῶς ἂν τοὺς θρήνους γυναιξὶν ἀποδιδοῖμεν καὶ ὅσοι κακοὶ τῶν ἀνδρῶν. Πλ. Ἡ ῥητορικὴ ἂν εἴη ψυχαγωγία διὰ λόγων οὐ μόνον ἐν δικαστηρίοις καὶ ὅσοι ἄλλοι δημόσιοι σύλλογοι, ἀλλὰ καὶ ἐν ἰδίοις ἡ αὐτή. Πλ. Πέμπουσι ναῦν ἐπί τε ἐκεῖνον καὶ ὧν πέρι ἄλλων ἐμεμήνυτο. Θ.

A. 6. Sogar einer Präpoſition erlaubte man ſich einen relativen Satz anzufügen, in der Regel jedoch nur, wenn das Relativ mit dem zu ergänzenden Demonſtrativ in der Form (nicht gerade im Caſus) übereinſtimmen würde. Τὸ μανθάνειν ἐστὶ τὸ σοφώτερον γίγνεσθαι περὶ ὃ μανθάνει τις. Πλ. Ἐπὶ ἃ γε θαρροῦσι πάντες ἔρχονται καὶ δειλοὶ καὶ ἀνδρεῖοι, καὶ ταύτῃ γε ἐπὶ τὰ αὐτὰ ἔρχονται οἵ δειλοί τε καὶ οἱ ἀνδρεῖοι. Πλ. Πολλοὶ ἀναλίσκουσιν οὐκ εἰς ἃ δεῖ μόνον, ἀλλὰ καὶ εἰς ἃ βλάβην φέρει. Ξε. Ἐγγίγνεταί μοι εὔνοια πρὸς οὓς ἂν ὑπολάβω εὐνοϊκῶς ἔχειν πρὸς ἐμέ. Ξε.)

A. 7. Aus dieſen Regeln verbunden mit denen über die Aſſimilation ergibt ſich daß die Auflöſung eines Relativs, beſonders mit einer Präpoſition, oft ziemlich vieldeutig iſt. So z. B. kann περὶ ὧν ſtehen für eine Form von οὗτοι, αὗται, ταῦτα mit περὶ ὧν nach 13 A. 1 ff., für περὶ τούτων ὧν nach A. 6, für περὶ τούτων οὕς, ἅς, ἃ nach 10 A. 1, für περὶ τούτων περὶ ὧν nach 11 A. 1. Der Sinn und Sprachgebrauch beſtimmen in den meiſten Fällen leicht die Wahl der gerade paſſenden Auflöſung. Λογισμῷ περὶ ὧν αἰσθανόμεθα λογιζόμενοί τε καὶ μνημονεύοντες μανθάνομεν. Ξε. Τὸ μέγεθος ὑπὲρ ὧν συνεληλύθαμεν τηλικοῦτόν ἐστιν. Ἰσ. — Τεύξῃ μᾶλλον παρ' ὧν ἂν δέῃ μὴ ἄπορος δοκῶν εἶναι. Ξε. — Χρὴ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι βουλεύεσθαι περὶ ὧν δ' ἂν βουλεύωνται μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον. Ἰσ. Τί δρῶμεν θάνατος ὢν κεῖται πέρι; Εὐ.

A. 8. In ſofern relative Adverbia für eine Präpoſition mit dem erforderlichen Caſus von ὅς ſtehen, wie ὅθεν für ἐξ οὗ, kann auch vor ihnen ein τοῦτο, ταῦτα oder τὶ (dies auch im örtlichen Sinne) zu ergänzen ſein. Ἄσχει ὁπόθεν δόξεις φρονεῖν. Πλ. Οὐδ' ὁπόθεν ἐπιπληρωσόμεθα τὰς ναῦς ἔχομεν, ὃ τοῖς πολεμίοις πολλαχόθεν ὑπάρχει. Θ.

A. 9. Relative Adverbia involviren nicht bloß die entsprechenden demonstrativen Correlative, sondern auch ein verschiedenes Verhältniß ausdrückende, namentlich die welche ein wo und woher bezeichnen das dahin, ἐκεῖσε, welches ähnlich auch vor Präpositionen mit einem Relativ fehlen kann. *Οἱ δεσπόται τοὺς δούλους κλέπτειν κωλύουσιν ἀποκλείοντες ὅθεν ἄν τι λαβεῖν ᾖ. Ξε. Οἱ Λακεδαιμόνιοι τὸν Παυσανίου τάφον μετήνεγκαν οὗπερ ἀπέθανεν. Θ. Ἄξω ὑμᾶς ἔνθα τὸ πρᾶγμα ἐγένετο. Ξε. Κατατίθησι πάλιν ὅθεν ἂν ἕκαστα λαμβάνῃ. Ξε. Ὅθεν ἀπελίπομεν ἐπανέλθωμεν. Πλ. Ἐπάνειμι ἔνθεν ἐπὶ ταῦτα ἐξέβην. Ξε. Προσήλασαν ἐξ ὅσου τις ἔμελλεν ἀκούσεσθαι. Θ.*

A. 10. Aus 13 erklärt es sich wie ὅς, gewöhnlicher ὅστις, nach οὕτως, τοσοῦτος (meist mit einer Negation oder in einer Frage) scheinbar für ὥστε eintreten kann. Wie man nämlich z. B. sagte *μῶρος ὃς θανεῖν ἐρᾷ*, so behielt man diese Fügung auch bei in (*οὐδείς*) *τίς οὕτω μῶρος ὃς θανεῖν ἐρᾷ; Σο. Τίς οὕτως ἐσὶ δυστυχὴς ὅστις πατρίδα ἕνεκα κέρδους βραχέος προέσθαι βουλήσεται; Λη. Οὐδεμία ἐστὶν οὕτω καλὴ παραίνεσις ἥτις τοὺς μὴ ὄντας ἀγαθοὺς αὐθήμερον ἀκούσαντας ἀγαθοὺς ποιήσει. Ξε. (Ἐκφυγὼν ἔχει τοσοῦτον ἄλγος οὗ ποτ' οὐ λελήσεται. Εὐ.)*

A. 11. In lockerer, nicht eigentlich constructionsmäßiger Verbindung wird ein persönliches ὅς, ὅστις auf ein eigenschaftliches Nomen oder einen prädicativen Genitiv (§ 47, 6 A. 9), auch einen von πρός regierten, bezogen und also dem εἴ τις synonym gebraucht. *Συμφορὰ ὃς ἂν τύχῃ κακῆς γυναικός· εὐτυχεῖ δ' ἐσθλῆς τυχών. Γν. Σκαιόν τι δῆτα χρῆμα γίγνεσθαι φιλεῖ θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει. Εὐ. — Τὰ τῶν φίλων αἴσχιστον ὅστις καταβαλὼν ἐς ξυμφορὰς αὐτὸς σέσωσται. Εὐ. Ἥδιστον ὅτῳ πάρεσι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν. Σο. (Τὸ εὐτυχὲς οἳ ὂν τῆς εὐπρεπεστάτης λάχωσι τελευτῆς. Θ.) — Τὸ καλῶς ἄρξαι τοῦτ' ἔστιν ὃς ἂν τὴν πατρίδα ὡς πλεῖστα ὠφελήσῃ. Θ. Ἐγὼ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι ᾧ ἂν ἐκόντες ἕπωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. Ξε. — Πολλῆς εὐηθείας ὅστις οἴεται τῆς ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τι πρᾶξαι ἀποτροπήν τινα ἔχειν. Θ. Σωφρόνων ἀνδρῶν οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο. Θ. Παῖδες σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους. Εὐ.*

(A. 12. In anderer Weise für *εἴ τις* stehen die Relative wenn der demonstrative Satz dem relativen nachfolgt ohne einen Begriff zu bieten auf den das Relativ sich bezieht. Dieser Begriff schwebt dann bloß vor und es kann ein Demonstrativ in dem erforderlichen Casus, zuweilen mit einer Präposition, ergänzt werden. *Οἱ Ἀθηναῖοι ἃ ἂν ἐπινοήσαντες μὴ ἐπεξέλθωσιν, οἰκείων στέρεσθαι ἡγοῦνται. Θ. Ἃ ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον διδάσκουσιν· ἃ δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι πρὸς τοῦτον. Ξε. Ὅσα τῶν ἀδικημάτων νόμος τις διώρικε, ῥᾴδιον τούτῳ κανόνι χρωμένους κολάζειν τοὺς παρανομοῦντας. Λυκ. Βασιλεὺς ἐξ ὁπόσων περ ἐθνῶν δασμοὺς λαμβάνει, τέταχε τῷ ἄρχοντι ἑκάστῳ εἰς ὁπόσους δεῖ διδόναι τροφήν. Ξε.)*

A. 13. So haben auch besonders die substantivirten Neutra ὅ, ὅπερ, ἅ mit ihrem Satze vor einem andern stehend, seltener eingeschoben, in diesem oft kein Correlat, sondern es ist als solches, wenn man die Rede

vervollständigen will, ein entsprechender Satz zu denken, z. B. *τοῦτ' ἔστιν, τοῦθ' οὕτως ἔχει.* Darauf kann auch ein Satz mit *ὅτι* oder *γάρ* folgen. Wir können diese Verkürzung zum Theil nachmachen, zum Theil durch eine etwas abweichende Uebersetzung erreichen: *ὃ λέγω, ὅπερ εἶπον* wie gesagt, *ὃ δὲ λέγεις* wenn du sagst, quod dicis. *Ὃ πάντων θαυμαστότατον, Σωκράτη μεθύοντα οὐδεὶς πώποτε ἑωράκει ἀνθρώπων. Πλ. Ὅπερ ἐστὶ νόμοις καὶ τῷ σωφρονεστάτῳ ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννῳ, δυναστεία ὀλίγων ἀνδρῶν εἶχε τὰ πράγματα. Θ. (Ὃ δὲ πάντων δεινότατον, ὅταν τις ἴδῃ τοὺς τὴν ἡγεμονίαν ἔχειν ἀξιοῦντας ἐπὶ τοὺς Ἕλληνας στρατευομένους. Ἰσ.) [Ὃ δὲ πάντων σχετλιώτατον, εἰ φιλοπονώτατοι δοκοῦντες εἶναι ῥᾳθυμότερον τῶν ἄλλων βουλευσόμεθα. Ἰσ.] Ὃ μὲν πάντων θαυμασιότατον ἀκοῦσαι, ὅτι ἓν ἕκαστον ὧν ἐπῃνέσαμεν τῆς φύσεως ἀποσπᾷ φιλοσοφίας. Πλ. Ὃ δὲ πάντων δεινότατον· τὴν γὰρ πόλιν οὐχ οἱόστ' ἐγένετο χειρώσασθαι. Ἰσ.*

Ὃ πλείστου ἐγὼ τιμῶμαι, Σωκράτει σχολάζω συνδιημερεύειν. Ξε. — Ὃ λέγω, τρυφᾷς ὑπὸ πλούτου τῆς σοφίας. Πλ. Ὃ ἄρτι ἔλεγον, ζητητέον τίνες ἄριστοι φύλακες. Πλ. Ὅπερ καὶ ἀρχόμενος εἶπον τοῦ λόγου, παῤῥησιασόμεθα πρὸς ὑμᾶς. Πλ. Οἱ θεοί, ὅπερ εἶπον, οὕτως ἡμῖν παρέδοσαν διδάσκειν ἀλλήλους. Πλ. Οὗ ἕνεκα ὁ λόγος ὡρμήθη, νῦν λέξομεν τὰς Κύρου πράξεις. Ξε. Πρῶτον, περὶ οὗ νῦν ὁ λόγος ἐστί, σὺ ἡγεῖ οἷόν τε εἶναι μακάριον ἄνδρα ἀδικοῦντά τε καὶ ἄδικον ὄντα. Πλ.

(A. 14. Auf einen im Vorhergehenden bloß enthaltenen Begriff bezieht sich am leichtesten das Masculinum des Relativs. *Τί δεῖ μακρηγορεῖν, ὧν τοὺς μὲν δεδουλωμένους ὁρᾶτε, τοῖς δ' ἐπιβουλεύοντας αὐτούς; Θ. Ἀθυμίαν πλείστην ὁ χρόνος παρεῖχεν, οὓς ᾤοντο ἡμερῶν ὀλίγων ἐκπολιορκήσειν. Θ.)*

A. 15. Adverbial geworden sind die durch ein zu ergänzendes *εἰσίν, ἦσαν* zu erklärenden Formeln *ὅσαι ἡμέραι* (auch *ὁσημέραι*) täglich, *ὅσοι μῆνες* monatlich, *ὅσα ἔτη* jährlich. *Τὴν ἐλευθερίαν ὅσαι ἡμέραι προσδέχονται. Θ. Ὅσιις ἥδεται ἐσθίων ὁσημέραι, δεῖ καὶ ποιεῖν τῶν σιτίων ἐπάξιόν τι. Γν. Οἱ ῥήτορες ὅσοι μῆνες μικροῦ δέουσι νομοθετεῖν τὰ αὐτοῖς συμφέροντα. Δη. Ἀνῆλθες ἤδη δεῦρο πρότερον; Νὴ Δία, ὁσέτη γε. Ἀρ.*

(A. 16. Ohne Ergänzung verband der Grieche nach der Analogie von *τοιοῦτος οἷος* Relative mit *ἴσος ὅμοιος, παραπλήσιος;* und sagte z. B. wie *ὅμοιος οἷος* selbst *ὅμοιος ὅσπερ*, wie auch *τοιοῦτος ὅς, ὅσπερ.* [Pari numero equitum quem relinquebat naves solvit. Caes. b. g. 5, 8.] *Ἀνίσοις ἴσα προστιθέμενα ἴσῳ ποιεῖ διαφέρειν ἀεὶ ὅσῳπερ ἂν τὸ πρῶτον διενέγκῃ. Πλ. Ἴσον ἂν εἴη πεῖσαι ὅπερ ἂν τὸ λεγόμενον λίθον ἐιρῆσαι. [Πλ.] Ὑφ' ὁμοίου ἄρχεται* [sc. *ὑπὸ*] *οἷον ὁ βέλτιστος. Πλ. Οἱ Μοσσύνοικοι μόνοι ὄντες ὅμοια ἔπραττον ἅπερ ἂν μετ' ἄλλων ὄντες. Ξε. Λακεδαιμόνιοι παραπλησίαις ἀτυχίαις ἐχρήσαντο καὶ συμφοραῖς αἴσπερ ἡμεῖς. Ἰσ. (Ἁρμονία γέ σοι οὐ τοιοῦτόν ἐστιν ᾧ ἀπεικάζεις. Πλ. Τοιοῦτός ἐστιν οἵσπερ ἥδεται ξυνών. Εὐ. [Ἦν ἐν ὁμοίῳ πολέμῳ δι' ὃν τότε τῆς εἰρήνης ἐπεθύμησεν. Δη.]*

A. 17. *Οἷος* und *ὅσος* substantivirt oder mit einem zugefügten Substantiv schließen sich auch Sätzen an die eine Thatsache enthalten, wenn dieselben die Idee der Ueberlegung (ein *λογιζόμενος*) einschließen; eben so *ὡς. Ἐχρῆν μὲν ἡμᾶς σύλλογον ποιουμένους τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά. Εὐ. Ἀπέχλαον τὴν ἐμαυτοῦ τύχην οἷου ἀνδρὸς*

ἑταίρου ἑστερημένος εἴην. Πλ. Κατέκαυσε τὰς κώμας, ὅπως φόβον ἐνθείη καὶ τοῖς ἄλλοις οἷα πείσονται. Ξε. — Εἰδαίμων μοι ἀνὴρ ἐγαίνετο ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα. Πλ.

14. Wie mehrere Demonſtrative, ſo können auch mehrere Relative in Einem Satze ohne Copula mit einander verbunden werden.

A. 1. So beſonders *οἷος, ὅσος,* (*ἡλίκος*) und *ὡς* (auch exclamativ), z. B. wie *τοιοῦτος τοιοῦτον*, ſo auch *οἷος οἷον. Γνώσεται ὁ δῆμος οἷος οἷον ῥέμμα ηὔξεν. Πλ. Ὅσοι ὅσους περὶ ὅσων ἔπεισαν ψευδῆ λόγον πλάσαντες. Γοργ. — Τίς οὐκ οἶδεν ἐξ οἵων συμφορῶν εἰς ὅσην εὐδαιμονίαν Ἀθηναῖοι κατέστησαν. Ἰσ. Δίδασκε οἷα οὖσα ψυχὴ ὑφ' οἵων λόγων δι' ἣν αἰτίαν ἐξ ἀνάγκης πείθεται. Πλ. — Ἐνθυμεῖσθε ὅθεν οἱ διέβη, ἐξ Ἀβύδου εἰς Σηστόν. Δη.*

A. 3. Das Eine Relativ kann ſich auch einem Particip, das andere dem Verbum finitum anſchließen. *Ἐκλογισάμενος ὅστις ὢν πρὸς οὕστινας ἐπολέμει εὖ ἐβουλεύσατο. Αἰ. Οὐκ ἀγνοῶ ἡλίκος ὢν ὅσον ἔργον ἐνίσταμαι τὸ μέγεθος. Ἰσ. Μέμνησθε ὡς εὖ παθόντες οἵαν χάριν ἀπέδοσαν. Πλ. Ἐνθυμητέον ἡλίκην ποτ' ἐχόντων δύναμιν Λακεδαιμονίων ὡς καλῶς καὶ προσηκόντως οὐδὲν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως. Δη.*

[A. 4. Verſchieden ſind die Stellen an denen *ὡς* mit einem Adjectiv oder Adverbium einem Relativ und ſeinem Nomen epexegetiſch beigefügt wird. *Συνιεθ' ὃν τρόπον ὁ Σόλων τοὺς νόμους ὡς καλῶς κελεύει τιθέναι. Δη. Ἴστε οἵων ὑμῖν κειμένων νόμων ὡς καλῶν καὶ σωφρόνων τετόλμηκε Τίμαρχος δημηγορεῖν. Αἰ.*]

15. Einige Relative werden durch die hinzutretenden Partikeln *δή* und *οὖν* in ihrem Begriffe modificirt und erhalten eine Art adjectiviſcher Bedeutung.

A. 1. Zunächſt gebrauchte man *ὅστις* ꝛc. zuerſt elliptiſch mit Ergänzung der erforderlichen Form des Hauptſatzes. Dieſe Ergänzung aber erloſch und ſo erhielt z. B. *ὅστις* (*δή*) wer (eben), ich weiß nicht wer adjectiviſche Bedeutung, völlig wie *τὶς* einem Subſtantiv angefügt oder auch ſelbſt ſubſtantivirt, ſogar als Subject eines abſoluten Genitivs, wie dies auch bei *εἴ τις* vorkommt. [*Ὡς κενταυρικῶς ἐνήλαθ' ὅστις. Ἀρ.*] *Ῥήγνυται ὁποία δὴ φλέψ. Ξε. Τί ποτε ὂν τὸ ὅσιον εἴτε φιλεῖται ὑπὸ θεῶν εἴτε ὅ, τι δὴ πάσχει. Πλ. Ἐς τὴν Ἄσπενδον ἤ τινι δὴ γνώμῃ ἀφικνεῖται. Θ. Τὸ ζῆν ὁπόσον δὴ χρόνον τὸν ὡς ἀληθῶς ἄνδρα ἑατέον ἐστίν. Πλ. Ἐξαπίνης ἀνέλαμψεν οἰκία ὅτου δὴ ἐνάψαντος. Ξε. (Τοῦ Γυλίππου καὶ εἴ του ἄλλου πειθόντων ὥρμηντο εἰς τὴν ναυμαχίαν. Θ.)*

A. 2. Eben ſo ſagte man *ὁστισοῦν* wer immer, jeder Beliebige, *ὁποιοσοῦν, ὁποσοσοῦν, ὁποστοσοῦν, ὁποτεροσοῦν. Κρίνει ἄμεινον ὄχλος πολλὰ ἢ εἷς ὁστισοῦν. Ἀρλ. Οὐ δοκεῖ σοι κακὸς εἶναι ἐπιμελητὴς ὁστισοῦν ὁτουοῦν ζώου ὃς ἂν παραλαβὼν ἡμερώτερα ἀποδείξῃ ἀγριώτερα ἢ παρέλαβε; Πλ. Τί περὶ αἰσθήσεως ἐροῦμεν ὁποιασοῦν, οἷον τῆς τοῦ ὁρᾶν ἢ ἀκούειν; Πλ. Οὐδαμοῦ σὺ φανήσει γεγονώς, οὐ πρῶτος, οὐ δεύτερος, οὐχ ὁποστοσοῦν. Δη. Ἂν ἀδι-*

κῶσιν ὑμῶν ὁποτεροιοῦν, σὺν τοῖς ἀδικουμένοις ἡμεῖς ἐσόμεθα. Ξε. [*Πολεμοῦνται ἀσαφῶς ὁποτέρων ἀρξάντων. Θ. S. A. 1.*]

A. 3. Zur Verstärkung kann vor *ὁστισοῦν* ꝛc. noch *καί* vel, auch nur eintreten, welches mit *οὐ* und *μή* in *οὐδέ* und *μηδέ* verschmilzt. So auch *καὶ ὁπωσοῦν* oder *ὁπωστιοῦν* (vgl. 16. A. 5), *οὐδ' ὁπωσοῦν. Πῶς οὐκ αἰσχρὸν καὶ ἠντινοῦν δίκην ἀπολιπεῖν. Αν. Ἄνευ εὐνοίας τί ὄφελος καὶ ὁποιαστινοσοῦν ἐπιτρόπου ἐπιστήμης γίγνεται; Ξε. Εἰ καὶ ὁποσονοῦν μᾶλλον ἐνδώσουσι, διαφθαρήσονται. Θ. Ἐπάκουε, εἰ νοῦν καὶ ὁπωσοῦν ἔχεις. Πλ. — Κόνων παρ' ὑμῶν οὐδ' ἠντινοῦν ἀφορμὴν λαβὼν κατεναυμάχησε Λακεδαιμονίους. Δη. Οἱ νικήσαντες τὰ πράγματα οὕτως ἐσφετερίσαντο, ὥστε ἀρχῆς μηδ' ὁτιοῦν μεταδιδόναι τοῖς ἡττηθεῖσιν. Πλ. Τοὺς ἰατροὺς σὺ ἀνδρείους καλεῖς; Οὐδ' ὁπωστιοῦν. Πλ.*

A. 4. *Δή* und *οὖν* verbinden sich in derselben Bedeutung auch mit relativen Adverbien. Dem *δή* wird bei diesen wie bei den Adjectiven oft noch *ποτέ* und selbst *πότ' οὖν* beigefügt. *Θρασύμαχος διαβάλλειν τε καὶ διαλύσασθαι διαβολὰς ὅθεν δὴ κράτιστος γέγονεν. Πλ. — Ἔνιοι τὰ μὲν φιλονεικίᾳ, τὰ δ' ἥτινι δή ποτ' αἰτίᾳ προάγονται λέγειν. Δη. Τοῦτο πέπραχται νυνὶ ὅπως δή ποτε. Δη. — Ἐμισθώσατό με ὅστις δή ποτ' οὖν. Αἰ.*

IV. *Τὶς* und die interrogativen Pronomina.

16. *Τὶς* setzt einen Gegenstand von unbestimmter Qualität.

A. 1. Mit Substantiven verbunden bezeichnet *τὶς* einen irgendwie geeigenschafteten Gegenstand der Art. *Ἡ στρογγυλότης σχῆμά τί ἐστι, οὐχ οὕτως ἁπλῶς σχῆμα. Πλ.*

A. 2. Daher bezeichnet es auch daß der gemeinte Gegenstand dem Worte ungefähr entspreche: eine Art von. So findet es sich auch bei Adjectiven. *Ἀρετή, ὡς ἔοικεν, ὑγίειά τέ τις ἂν εἴη καὶ κάλλος καὶ εὐεξία ψυχῆς. Πλ. Ὁ σοφισὴς πέφανται ἔμπορός τις περὶ τὰ τῆς ψυχῆς μαθήματα. Πλ. — Ἐγὼ φιλέταιρός τίς εἰμι. Πλ. Ἐγώ τις, ὡς ἔοικε, δυσμαθής. Πλ. Ἀνδρειότεροί τινες ὑπὸ σοῦ λέγονται οἱ κρείττους. Πλ.*

A. 3. In diesem Sinne verbindet es sich auch mit Adjectiven der Qualität und Quantität, zum Theil durch unser ungefähr übersetzbar. *Αἱ παιδεῖαι ποιούς τινας ποιοῦσι τοὺς νέους. Ἀρλ. Ποίου τινὸς γένους ἐστὶν ὁ Σπιθραδάτης; Ξε. Ὁποίους τινὰς ἂν φαίνησθε ἀγαπῶντες, τούτοις ὅμοιοι δόξετ' εἶναι. Δη. Ἔστιν αὕτη ἡ αἰὼρα διὰ φύσιν τοιάνδε τινά. Πλ. Τοιαῦτ' ἄττα διελέχθησαν. Πλ. Πόσον τι πλῆθος συμμάχων πάρεστ' ἔχων; Εὐ. Πηλίκον τί ποτ' ἂν στενάξειαν οἱ ἄνδρες ἐκεῖνοι; Δη. Μεγάλη τίς μοι δοκεῖ ἡ χρεία τῆς ῥητορικῆς εἶναι. Πλ.*

A. 4. Verschieden steht *τὶς* bei (*οὐ*) *πολύς, ὀλίγος* u. ä., wie unser einige, und selbst bei Cardinalzahlen, dies in sofern Ungewißheit über die genaue Richtigkeit der Zahl zu bezeichnen ist, wie bei Zehnern

von 20 bis 90 auch wir einige gebrauchen. *Σικελίας περίπλους ἐστὶν ὀλκάδι οὐ πολλῷ τινι ἔλασσον ἢ ὀκτὼ ἡμερῶν.* Θ. *Ὑπεξῆλθον οὐ πολλοί τινες.* Θ. *Εἶχόν τινας οὐ πολλοὺς πελτασιάς.* Θ. *Τοὺς Ἐρετριέας ὁ Δᾶτις ἐν βραχεῖ τινι χρόνῳ εἷλεν.* Πλ. *Σωμασκοῦσι μάλα ὀλίγοι τινὲς ἐν ἑκάστῃ πόλει.* Ξε. *Ἔνιοί τινες τῶν πόλεων μόνιμοί εἰσιν.* Πλ. *Προμηθείας πάνυ τισὶν ὀλίγοις οἶμαι μετεῖναι.* Πλ. *Παρεγένοντό τινες δύο νῆες.* Θ. *Τριάκοντά τινας ἀπέκτειναν.* Θ. *Ἐς διακοσίους τινὰς αὐτῶν ἀπέκτεινεν.* Θ.

(A. 5. In derſelben Bedeutung erſcheint *τι* bei Adverbien (ſelbſt adverbartig), beſonders bei *σχεδόν, πάνυ. Σχεδόν τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύνην, τὸ γιγνώσκειν αὐτὸν ἑαυτόν.* Πλ. *Ἔφυγον μηδέν τι πάνυ διωκόμενοι.* Ξε. *Δοκεῖ τοῖς πολλοῖς ἀνθρώποις ἐγγύς τι τείνειν τοῦ τεθνάναι ὁ μηδὲν φροντίζων τῶν ἡδονῶν αἳ διὰ τοῦ σώματός εἰσιν.* Πλ. *Ἦν ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι.* Θ.)

A. 6. Ueber ein ſcheinbares Fehlen des *τι* § 43, 4 A. 10.

A. 7. Subſtantivirt entſpricht *τὶς* im Singular meiſt unſerm Jemand und man. *Ὅπου τις ἀλγεῖ, κεῖσε καὶ τὸν νοῦν ἔχε.* Γν. *Δοκεῖ σοι δίκαιον εἶναι περὶ ὧν τις μὴ οἶδε λέγειν ὡς εἰδότα;* Πλ. *Ἴτω τις ἐφ' ὕδωρ, ξύλα τις σχισάτω.* Ξε.

A. 8. So bezieht ſich *τὶς* auch auf beſtimmt verſchwebende (erwähnte oder anweſende) Perſonen die man eben nicht genauer bezeichnen mag; ſogar für die erſte Perſon eintretend. *Τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι.* Σο. *Ὥρα βουλεύεσθαι πῶς τις τοὺς ἄνδρας ἀπελᾷ.* Ξε. *Ποῖ τις ἂν φύγοι;* Ἀρ.

A. 9. Ueber *τινά* man als Subject des Inf. ſ. unten.

A. 10. Auf mehrere unbeſtimmte Perſonen bezogen kann *τὶς* unſerm Mancher und ſelbſt dem Jeder entſprechen. *Τῶν ἐν τῇ ὀλιγαρχίᾳ ἀποθανόντων ἴσως τις ἦν πονηρός.* Αν. *Χρὴ δειπνεῖν ὅ, τι τις ἔχει.* Ξε. *Εἴπομεν τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν.* Θ.

A. 11. *Πᾶς τις, ἕκαστός τις* heißt jeder Beliebige, indem *τὶς*, wie auch in *εἴς τις*, auf eine unbeſtimmte Qualität hindeutet. *Πένητα φεύγε πᾶς τις ἐκποδὼν φίλος.* Εὐ. *Οὕτω χρὴ ποιεῖν ὅπως ἕκαστός τις ἑαυτῷ ξυνείσεται τῆς νίκης αἰτιώτατος ὤν.* Ξε. *Ἕν τι τῶν ἀναγκαίων ἡ οὐσία.* Ἀρλ.

A. 12. Als Prädicat bezeichnet *τὶς* eine Perſon von Bedeutung. *Ἥσυχις τις εἶναι, τοῖσι χρήμασι σθένων.* Εὐ. [*Φρονοῦσι δήμου μεῖζον, ὄντες οὐδένες.* Εὐ.]

A. 13. Aehnlich hat *τὶ* eine prägnante Bedeutung in *λέγειν τι* etwas Erhebliches ſagen, mit dem Gegenſatze *οὐδὲν λέγειν* etwas Richtiges, Unhaltbares ſagen (ſyn. *οὐδὲν ὑγιὲς λέγειν* Ar. Thesm. 634. 636). *Τῆς ἐμῆς γνώμης ἄκουσον, ἤν τί σοι δοκῶ λέγειν.* Εὐ *Λέγουσι μέν τι, οὐ μέντοι ἀληθές γε.* Πλ. *Οὐδὲν λέγειν οἶμαί σε.* Ἀρ. *Ὃς ἂν μηδὲν δοκῇ ὑμῖν λέγειν, μὴ προσέχετε αὐτῷ τὸν νοῦν.* Ξε.

A. 14. Der Plural *τινές* bezeichnet an ſich nicht, wie unſer einige, eine geringe Anzahl, ſondern (irgend) welche, das veraltete etwelche,

Ἆρ' οὐκ εἴων οἱ ἄρχοντες παρεῖναι, ἀλλ' ἔρημος ἐτελεύτα; Οὐδαμῶς, ἀλλὰ παρῆσάν τινες καὶ πολλοί γε. Πλ. Ὁ πεῖθειν τινὰς βουλόμενος οὐκ ἀμελήσει τῆς ἀρετῆς. Ἰσ. Διαβολὰς οὐ σῶφρον οὔτε λέγειν τινὰς ἐς ἀλλήλους οὔτε τοὺς ἀκούοντας ἀποδέχεσθαι. Θ.

17. Von den interrogativen Pronominen sind directe *τίς, πότερος, ποῖος, πόσος*; indirecte *ὅστις, ὁπότερος, ὁποῖος, ὁπόσος*, jene in einem freistehenden Satze gebraucht, diese einem einleitenden Satze angefügt.

A. 1. Den Adjectiven schließen sich eine Anzahl von Adverbien an: *ποῦ, ὅπου; πῇ, ὅπῃ; ποῖ, ὅποι; πόθεν, ὁπόθεν; πότε, ὁπότε; πῶς, ὅπως.*

A. 2. Die directen Fragewörter können auch nach einem einleitenden Satze eintreten, nicht bloß wo sie, diesem nicht eigentlich angefügt, mit ihrem Satze als selbstständige Frage fortbestehen, sondern auch bei wirklicher Anfügung, z. B. wo (nach einem historischen Tempus) statt des Indicativs der directen Frage der Optativ eintritt. *Θεὸν μὲν ποῖον εἰπέ μοι νοητέον; τὸν πάνθ' ὁρῶντα κἀὐτὸν οὐχ ὁρώμενον. Φιλ. Ἡρώτα τί βούλοιντο. Ξε.* Vgl. § 65, 1.

A. 3. Nicht umgekehrt können die indirecten Fragewörter (noch auch die einfachen Relative) in einer directen Frage eintreten. Nur scheinbar findet dies statt wenn der Gefragte die Worte des Fragenden wiederholt, wobei regelmäßig für das *τίς* ꝛc., *ποῦ* ꝛc. des ersteren *ὅστις* ꝛc., *ὅπου* ꝛc. gesetzt wird, weil hiebei eigentlich gedacht wird: *ἐρωτᾷς ὅστις —; Σὺ εἴ τις ἀνδρῶν; Ὅστις εἴμ' ἐγώ; Μέτων. Ἀρ. Πῶς ἂν ταῦτα ξυγχωροῖμεν; Ὅπως; εἰ θεὸς ἡμῖν δοίη τις συμφωνίαν. Πλ.* (Einiges Andere bei Buttmann zu Plat. Men. 6?)

A. 4. Die directen Fragepronomina und Frageadverbia sind überall anwendbar wo in affirmativer Rede das indefinite *τὶς* oder entsprechende Demonstrative stehen könnten. So stehen sie zunächst bei einzelnen Begriffen, Participien, Substantiven, Adjectiven oder Adverbien; und zwar eingeschoben, wenn das Nomen den Artikel hat. *Ἦκον ἐρησόμενοι τί ἂν ποιοῦντες εἰρήνης τύχοιεν. Ξε. Μέλλεις τελεῖν Ἱπποκράτει μισθὸν ὡς τίνι ὄντι; Ὡς ἰατρῷ. Πλ. Λογίσασθε τί ποιούντων ἡμῶν ὁ χρόνος ἅπας διελήλυθεν οὗτος. Δη. Ἐπὶ τί φὴς ἴτας εἶναι τοὺς θαῤῥαλέους; ἆρ' ἐπὶ τὰ δεινὰ ἢ ἐπὶ τὰ μή; Πλ. Τίνος (ἐπιστήμων) ἐπιστημόνως λέγεις; Πλ. — Καταμεμάθηκας τοὺς τί ποιοῦντας ἀχαρίστους ἀποκαλοῦσιν; Ξε. Τοὺς πῶς διακειμένους λάβοιεν ἂν μαθητάς; Ἰσ. Τᾶν τίνα τρόπον διωκόντων αὐτὸ καὶ ἐν τίνι πράξει ἡ σπουδὴ καὶ ἡ σύνιασις Ἔρως ἂν καλοῖτο; Πλ. — Ὁ σοφιστὴς τῶν τί σοφῶν ἐστίν; Πλ. — Τῷ τίνος ἔργῳ ὁ ὑφάντης χρήσεται; Τῷ τοῦ τέκτονος. Πλ. Ἐρώτησον τούτους τὴν ποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν; Δη. — Τῆς περὶ τί πειθοῦς ἡ ῥητορικὴ ἐστι τέχνη; Πλ. Τὸν ἐκ ποίας πόλεως στρατηγὸν προσδοκῶ ταῦτα πράξειν; Ξε. Ἡ διὰ τίνος δύναμις τὸ ἐπὶ πᾶσι κοινὸν δηλοῖ σοι; Πλ.*

(A. 5. Ein solches Fragewort kann auch bloß einem Particip sich anschließen das als No. oder absoluter Ge. einem Verbum finitum eines nicht interrogativen Satzes angefügt oder auch mit einem affirmativen Particip verbunden ist; eben so als exclamative

Frage. *Ἀγαναχτῶ εἰ διὰ δούλην ἄνθρωπον εἰς κίνδυνον καθέστηκα, τί κακὸν πώποτε τὴν πόλιν εἰργασμένος ἢ εἰς τίνα τῶν πολιτῶν ὁτιοῦν ἐξαμαρτών; Λυ. Ἀπειλῶν οὐκ ἐπαύετο καὶ τί κακὸν οὐ παρέχων; Δη. Ἐγέγραπτο ὅποι ἀνηλώθη καὶ ὅ, τι ποιούντων. Δη. — Ὑβριζομένων καὶ τί κακὸν οὐχὶ πασχόντων πᾶσα ἢ οἰκουμένη μεστὴ γέγονε προδοτῶν. Δη.*)

(A. 6. Wie der einzelne Begriff, ſo kann daneben auch das Verbum finitum ein Frage-Pronomen oder Adverbium bei ſich haben. *Τίνα σε χρὴ καλεῖν ὡς τίνος ἐπιστήμονα τέχνης; Πλ. Σκοπεῖτε τί πιστεύσαντες τί ἔπαθον. Δη. Πρόοιδεν ἕκαστος πότε καὶ παρὰ τοῦ καὶ τί λαβόντα τί δεῖ ποιεῖν. Δη.*)

A. 7. Wie bei Participien, ſo erſcheinen die Frage-Pronomina und Adverbia auch bei Infinitiven und ſelbſt bei abhängigen Sätzen, finalen, hypothetiſchen, relativen, temporalen. (*Ὅμην. Ἦ μὴν τί δρᾶσειν; καὶ τόδ' ἐξειρήσεται. Σο. Γυναιξὶ φασι παραδιδόσθαι τὴν πόλιν. Τί δρᾶν; ὑφαίνειν; Οὐ μὰ Δι' ἀλλ' ἄρχειν. Ἀρ.*) — *Βοηθούντων ἡμῶν εἰς Ἄργος οὐχ ἕτοιμον μάχεσθαι Λακεδαιμονίοις; ἵνα ἡμῖν τί γένηται; Ἀνδ. Εἰ ποιόν τί ἐστιν τῶν περὶ τὴν ψυχὴν ὄντων ἀρετή, διδακτὸν ἂν εἴη ἢ οὐ διδακτόν; Πλ. Ὧι ἂν τί ἐν τῷ σώματι ἐγγένηται, θερμὸν ἔσται; Πλ. Γίγνεται πάντων γένεσις ἡνίκ' ἂν τί πάθος ᾖ; Πλ. Ὅταν τί δέῃ ἀργυρίῳ ἢ χρυσίῳ κοινῇ χρῆσθαι, ὁ δίκαιος χρησιμώτερος τῶν ἄλλων; Ὅταν παρακατατίθεσθαι καὶ σῶν εἶναι (δέῃ). Πλ. Θανεῖν αὐτὸν οὔ τί πω θέλω. Πρὶν ἂν τί δράσῃς ἢ τί κερδάνῃς πλέον; Σο.*

(A. 8. *Ἵνα τί* (poet. auch *ὡς τί*) findet ſich ſo elliptiſch erg. *γένηται* oder *γένοιτο* zu welchem Zwecke? Aehnlich *ὅτι τί* sc. *ἐστίν* aus welchem Grunde? [Vgl. Lobeck zu So. Aj. 77.] *Τοιαῦτ' ἠπείλει. Ἵνα τί; ἵν' ἐγὼ κατηγορῶ. Δη. Ἵνα τί βούλεται εὐδαίμων εἶναι ὁ βουλόμενος; Πλ. Οὐδὲ ποιμένα γιγνώσκεις. Ὅτι δὴ τί μάλιστα; ἦν δ' ἐγώ. Ὅτι οἴει τοὺς ποιμένας τὸ τῶν προβάτων ἀγαθὸν σκοπεῖν. Πλ.*)

(A 9. Auch wenn der Hauptſatz ein Fragepronomen hat, kann ein ſolches im abhängigen oder Neben-Satze gleichfalls ſtehen. *Ἐπειδὴ τίνος τέχνης ἐπιστήμων ἐστί, τίνα ἂν καλοῦντες αὐτὸν ὀρθῶς ἂν καλοῖμεν; (= τὸν τίνος τέχνης ἐπιστήμονα τίνα ἄν — .) Πλ.*)

A. 10. In demſelben Satze können auch zwei Frage-Pronomina oder Adverbia, wie neben einem Frage-Adverbium ein Frage-Pronomen ſtehen. *Τίνας ὑπὸ τίνων εὕροιμεν ἂν μείζω εὐεργετημένους ἢ παῖδας ὑπὸ γονέων; Ξε. Ἦ τίσιν τί ἀποδιδοῦσα τέχνη δικαιοσύνη ἂν καλοῖτο; Πλ. Ἀντὶ ποίων ποῖα μετατεθέντα εὐδαίμονα πόλιν ἀπεργάζοιτ' ἄν; Πλ. — Τίς πόθεν μολών σοι μαρτυρήσει; Σο. Πῶς τί τοῦτ' εἶπες; Πλ. — Ἆρ' οὐ μετὰ ἐπιστήμης τινὸς ἀναγκαῖον διὰ τῶν λόγων πορεύεσθαι τὸν ὀρθῶς μέλλοντα δείξειν ποῖα ποίοις συμφωνεῖ τῶν γενῶν καὶ ποῖα ἄλληλα οὐ δέχεται; Πλ. Ποῖα ὁποίου βίου μιμήματα, λέγειν οὐκ ἔχω. Πλ. Πᾶς οἶδεν ὁποῖα ὁποίοις δυνατὰ κοινωνεῖν. Πλ. (Γράψει ὅτῳ τί ποιεῖν ἢ παθεῖν ὑπὸ τοῦ πέφυκεν. Πλ.*)

[A. 11. Dieſe Doppelfrage kann ſogar im Vorder- und Nachſatze zugleich eintreten vgl. A. 9. *Ἐπειδὰν τίς τινα φιλῇ, πότερος ποτέρου φίλος γίγνεται, ὁ φιλῶν τοῦ φιλουμένου ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος; Πλ.*]

(A. 12. In Unterredungen findet ſich *ποῖος* mit einem von dem An-

dern gebrauchten Nomen, um dessen Erwähnung mit Widerwillen abzulehnen: was sprichst du mir da von —. *Ὁ Ζεὺς ἡμῖν οὐ θεός ἐστιν; Ποῖος Ζεύς; οὐ μὴ ληρήσεις; Ἀρ. Χαρίεν γέ τι πρᾶγμα ἐστιν ἡ φιλοσοφία. Ποῖον, ἔφη, χαρίεν, ὦ μακάριε; οὐδενὸς μὲν οὖν ἄξιον. Πλ.*)

A. 13. Aehnlich findet sich *πόθεν;* in dem Sinne unseres: wie sollte er dazu kommen? *Τίσι χρῆται; πότερα τοῖς χρηστοῖς; Πόθεν; μισεῖ κάκιστα; Ἀρ. Διὰ τί ποτε ἄνθρωποι καλουνται; σὺ ἔχεις εἰπεῖν; Πόθεν ὠγαθὲ ἔχω; Πλ.*

A. 14. *Πότερος* und *ὁπότερος* heißen auch einer von beiden (§ 25, 10 A. 3). Eine Bedeutung bei der man zu *ὁπότερος* ursprünglich das Hauptverbum wiederholt dachte. *Δεῖ, εἴπερ πότερον αὐτῶν ἐστὶ τἀγαθόν, μηδὲν μηδενὸς ἔτι προσδεῖσθαι. Πλ. Τί ποτε οἴει σοι πότερον ἡμῶν ἀποκρινεῖσθαι; Πλ. Πολλὴ ἀνάγκη ὁπότερον τούτων ἑλέσθαι. Ἀνδ.*

Zweiter Abschnitt: vom Verbum.

§ 52. Genera der Verba.

I. Activa. Neutra und deren Passiva.

1. Von den das Genus des Verbums bezeichnenden Formationen hat die active am festesten auch active Bedeutung.

A. 1. Ueber die Ausn. *ἑάλων* und *ἑάλωκα* s. *ἁλίσκομαι* im Ind. der Anomala. Manches andere ist mit Unrecht als Ausnahme betrachtet, wie *οἰκεῖν* von Orten als Wohnplätzen gebraucht, etwa unserm bestehen entsprechend. *Βλάπτουσιν οἱ πονηροὶ νόμοι καὶ τὰς ἀσφαλῶς οἰκεῖν οἰομένας πόλεις. Δη.*

A. 2. Häufig stehen transitive Verba ohne Object, weil sie auf keine bestimmten Objecte zu beziehen sind, wie *δύνασθαι* bei Kräften sein, *ἔχειν* vermögend sein, *δοῦναι* und *δωρεῖσθαι* Geschenke machen, *τολμᾶν* kühn, unternehmend handeln, *ἀσκεῖν* Uebungen betreiben, *προσπιθέναι* einen Zusatz oder Zusätze machen ꝛc. *Ἃ ἂν δυνάμενοι εἰς ἀδυνάτους πονήσωσι πάλιν κομίζονται παρὰ δυναμένων ἀδυνατοῦντες ἐν τῷ γήρᾳ. Ἀρλ. Πρὸς τὸν ἔχονθ' ὁ φθόνος ἕρπει. Σο. Δοῦναί γε μᾶλλον πλουσίῳ πᾶς τις κακῷ πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ. Εὐ. — Τολμῶντες ἄνδρες τὴν ἀρχὴν ἐκτήσαντο. Θ. Ἐκπονοῦντα φὴς καὶ ἐπιμελούμενον καὶ ἀσκοῦντα ἄνθρωπον μᾶλλον τυγχάνειν τῶν ἀγαθῶν. Ξε. — Ξυμφέρον γέ τι εἶναι καὶ ἐγὼ ὁμολογῶ τὸ δίκαιον, σὺ δὲ προστίθης καὶ*

αὐτὸ φὴς εἶναι τὸ τοῦ κρείττονος (ξυμφέρον). Πλ. Μάντις ἄριστος ὅστις εἰκάζει καλῶς. Εὐ.

A. 3. So erhalten manche Transitiva scheinbar intransitive Bedeutung, wie *ἔλλειπειν, ἐπιλείπειν* und *ἐκλείπειν* deficere, ausgehen, fehlen, letzteres auch mit *ὁ ἥλιος* [*τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην* Her. 7, 37] und *ἡ σελήνη* von einer Sonnen- und Mondfinsterniß, *ἀπαγορεύειν* und *ἀπειπεῖν* (nicht *ἀπολέγειν*) den Dienst versagen, erschöpft werden, *(δια)τελεῖν* einen Weg zurücklegen, *καταλύειν* einen Marsch beendigen, einkehren; auch einen Krieg beilegen, *ὑπολαμβάνειν* unterbrechen, einfallen; *πόλεμος καταλαμβάνει* ein Krieg tritt ein, *ὁ λόγος κατέχει* die Sage herrscht, *ὁ λόγος αἱρεῖ* die Rede, Beweisführung nöthigt. *Ὁ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ. Ξε. Ἐπιλιπούσης ἐπιστήμης ὁ ἁμαρτάνων ἁμαρτάνει. Πλ. Διὰ τὸν πόλεμον τῶν προσόδων πολλαὶ ἐκλείπουσιν. Ξε. Νουμηνίᾳ κατὰ σελήνην ὁ ἥλιος ἐκλείπει. Θ. Ἀνάγκη τοὺς μὲν γήρᾳ ἀπαγορεύειν, τοὺς δὲ καὶ ἄλλως ἐκλείπειν. Ξε. Ἐξ Ἀβδήρων ἐς Ἴστρον ἀνὴρ εὔζωνος ἑνδεκαταῖος τελεῖ. Θ. Θεμιστοκλῆς ἀναγκάζεται παρὰ Ἄδμητον καταλῦσαι. Θ. Ἣν καταλύειν βούλωνται πρὸς Ἀθηναίους, ἐν ὁμοίῳ καταλύεσθαι. Θ. Ὁ Κῦρος ἔτι λέγοντος αὐτοῦ ὑπολαβὼν εἶπεν. Ξε. Τῇ Οἰνόῃ φρουρίῳ οἱ Ἀθηναῖοι ἐχρῶντο, ὁπότε πόλεμος καταλάβοι. Θ. Οὐκ ἐγένετο ὁ στόλος τοσοῦτος ὅσον οἵ τε ποιηταὶ εἰρήκασι καὶ ὁ λόγος κατέχει. Θ. Ὅπῃ ὁ λόγος αἱρεῖ βέλτιστ' ἔχει. Πλ.*

A. 4. Verba activer Bedeutung bezeichnen oft die Handlung welche das Subject verrichten läßt. *Κῦρος τὸν παράδεισον ἐξέκοψεν. Ξε. Προπέμψας ἑρμηνέα εἶπεν ὅτι βούλοιτο διαλεχθῆναι τοῖς ἄρχουσιν. Ξε. (Εἶδον διὰ τούτων. Ἡρ.)* Vgl. 11 A. 1.

2. Von vielen Verben, besonders der Bewegung, hat die active Form sowohl transitive als intransitive Bedeutung, wie auch im Deutschen halten, ziehen, fahren, stürzen, kehren, wenden, brechen, schmelzen, nachlassen, nachgeben, ab- und zunehmen, passen (*ἁρμόττειν*).

A. 1. So heißt *ἐλαύνειν* treiben und fahren oder reiten, *αἴρειν* heben und aufbrechen, *ὁρμᾶν* antreiben (selten) und fortmachen, an-, vordringen, contendere, während *ὁρμᾶσθαι, -ηθῆναι* aufbrechen, proficisci bedeutet; letzteres im Pr. und Ipf. auch so viel als *ὁρμητήριον ἔχειν*, sede belli uti; im uneigentlichen Sinne *ὁρμᾶν* etwas (eifrig) treiben, *ὁρμᾶσθαι* sich an etwas machen, anstreben. [*Τὰς ναῦς ἄραντες ἀπὸ τῆς γῆς καὶ παραταξάμενοι μετεώρους ἠσύχαζον. Θ.*] *Κορίνθιοι ἄραντες ἑβδομήκοντα ναυσὶ καὶ πέντε δισχιλίοις τε ὁπλίταις ἔπλεον ἐπὶ τὴν Ἐπίδαμνον. Θ. — Δεῖ τὸν ἵππον ἀνὰ κράτος ἐλαύνοντα ἔποχον εἶναι (τὸν ἱππέα). Ξε. Ὁ ἵππαρχος πρῶτος τῶν ἱππέων ἐλαύνει, οἱ δ' ἱπποτοξόται προελαύνουσι καὶ τῶν ἱππάρχων. Ξε. — (Ἐπὶ πλεονεξίαν καὶ ἰδιοπραγίαν ἡ θνητὴ φύσις αὐτὸν ὁρμήσει ἀεί. Πλ.) Σοφὸν ἐκεῖσε ὁρμᾶν ὅπου ἂν ἀσθενῇ τὰ τῶν πολεμίων ᾖ. Ξε. Οἱ Λακεδαιμόνιοι οὐκ ἐβούλοντο ἔχειν τὸν βάρβαρον ἀπ' ἐχυροῦ ποθεν, ὥσπερ νῦν ἐκ Θηβῶν, ὁρμᾶσθαι. Θ. Οἱ πολλοὶ ὡρμηκότες ἐπὶ τὸ σκοπεῖν τὰ τῶν ἄλλων πρά-*

γματα οὐ τρέπονται ἐπὶ τὸ ἑαυτοὺς ἐξετάζειν. Ξε. Ἡγοῦμαι ὑμᾶς ὁρμᾶσθαι πάντας εἰς τὸ ἀγωνίζεσθαι περὶ ἀρετῆς. Ξε.

A. 2. In mehreren Bedeutungen findet sich *ἔχειν* intransitiv: halten, wie in *ἔχε (δή)* halt (stille), schweig (einstweilen); *ἔχ' ἠρέμα, ἡσυχῇ* verhalte dich ruhig (dramatisch *ἔχ' ἥσυχος*); sich verhalten, sich befinden mit Adverbien der Beschaffenheit (wohin auch gehört *ὥσπερ ἔχω* wie ich da bin, stehendes Fußes) vgl. § 68, 30 A. 3; hinhalten, hinsteuern; sich enthalten, abstehen. *Λέγε. — ἔχε αὐτοῦ. Δη. Ἔχε δή, ἔφην ἐγώ· ἄξιον γάρ τοι ἐπισκέψασθαι ὃ λέγεις. Πλ. Εἰ βούλει, ἔχ' ἠρέμα· δοκῶ γάρ μοί τι καθορᾶν πιθανώτερον τούτου. Πλ. Ἔχ' ἡσυχῇ ὦ Ἱππία· κινδυνεύομεν γάρ τοι ἐν ἄλλῃ τινὶ ἀπορίᾳ εἶναι. Πλ. Ἀναγκαίως ἔχει πατρίδος ἐρᾶν ἅπαντας. Εὐ. Εὐαγόρας εὐθύς, ὥσπερ εἶχε, προσέβαλε πρὸς τὸ βασίλειον. Ἰσ. Ἐκ τῆς Κατάνης ἔσχον κατὰ τὸν Λέοντα καλούμενον. Θ. (Ἑλληνικοῦ πολέμου ἔσχον οἱ Ἀθηναῖοι. Θ.)*

A. 3. Noch häufiger intransitiv (die meisten nur so) finden sich Composita von *ἔχειν*: *ἀντέχειν* widerstehen, *ἀπέχειν* entfernt sein, *διέχειν* aus einander liegen, *ἀνέχειν* empor-, hervorragen, *προέχειν* hervorragen, *ὑπερέχειν* überragen, übertreffen, *ἐπέχειν* sich erstrecken, verweilen, aufhören, abstehen, [*κατέχειν*] *κατίσχειν* hinsteuern, *προσέχειν* anlegen, anlanden, *παρέχειν* freistehen. Bei *προσέχειν* acht geben hat wohl das oft auch hinzugefügte *τὸν νοῦν* vorgeschwebt. *Τοῖς τοι δικαίοις ἀντέχειν οὐ ῥᾴδιον. Εὐ. Τὸ μέσον ἴσον τῶν ἐσχάτων ἀπέχει. Πλ. Κακουργίας Σωκράτης πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν. Ξε. Ἡ Μινώα οὐ πολὺ διέχει τῆς ἠπείρου. Θ. Ἁλωπεκόννησος Χερρονήσου μέν ἐστιν, ἀκρωτήριον δ' ἀνέχον πρὸς τὴν Ἶμβρον ἀπωτάτω τῆς Θρᾴκης. Δη. Ἡ Θάψος ἐστὶ χερσόνησος ἐν στενῷ ἰσθμῷ προὔχουσα ἐς τὸ πέλαγος. Θ. Δυνατὰ οἱ προὔχοντες πράσσουσιν καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσιν. Θ. Κράνος τὸ Βοιωτουργὲς στεγάζει μάλιστα τὰ ὑπερέχοντα τοῦ θώρακος, ὁρᾶν δ' οὐ κωλύει. Ξε. Χρὴ δόλῳ τοὺς ὑπερέχοντας κρατεῖν. Αἰσ. Ἡ μεσόιης ὑπερέχει καὶ ὑπερέχεται. Πλ. Σεισμοὶ ἐπὶ πλεῖστον μέρος γῆς ἐπέσχον. Θ. Θεμιστοκλῆς ἑνιαυτὸν ἐπισχὼν βασιλεῖ περὶ ὧν ἦκεν ἐδήλωσεν. Θ. Ἐπίσχες οὗτος· ὡς ὀλίγου μ' ἀπώλεσας. Ἀρ. Ἠσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. Πλ. Κατασχόντες ἐς τὸν λιμένα τῶν Χίων νεῶν ἐκράτησαν. Θ. Ἀναγκαῖον ἦν τῇ νηὶ προσέχειν εἰς Ῥόδον. Δη. Καλῶς γε σωφρονεῖν παρεῖχέ σοι. Εὐ.*

A. 4. *Φέρειν* führen (wie *ἄγειν*) vom Wege ist auch aus 1 A. 2 erklärbar; entschieden intransitiv sind *διαφέρειν* verschieden sein, sich auszeichnen und *προφέρειν* hervorragen, *ὑπερφέρειν* überragen, *συμφέρειν* nützen. *Ἧιεσαν τὴν πρὸς τὸ ὄρος φέρουσαν ὁδόν. Θ. Ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ. Ξε. Οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ διαφέρομεν, ἀλλὰ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις. Ἰσ. Εἴ τίς τι ἕτερος ἑτέρου προφέρει ἢ ῥώμῃ ἢ ἐπιστήμῃ, ἐπιδειξάτω. Θ. Λυκοῦργος βασιλεῖ ἔδωκε τοσαῦτα ὥστε μήτε δεῖσθαι τῶν μετρίων μήτε πλούτῳ ὑπερφέρειν. Ξε. Ἰατρὸς ἀγαθὸς οἶδεν ὅ, τι συμφέρει τοῖς κάμνουσιν. Ξε.*

A. 5. Intransitive Bedeutung haben ferner (*ἀπο-, ὑπο-*)*στρέφειν* und *χαλᾶν, παύειν* bes. im Imperativ, doch nicht eben in der att. Prosa.

Wohl immer intransitiv gebraucht die attische Prosa *πταίειν* anstoßen, Unglück haben. *Τἀναντία στρέψαντες ἔφευγον.* Ξε. *Τἀναντία ἀποστρέψας ἐπὶ Φρυγίας ἐπορεύετο.* Ξε. *Ὑποστρέφοντες ἠμύνοντο.* Θ. *Ἐπειδὰν αἱ ἐπιθυμίαι χαλάσωσι, δεσποτῶν πάνυ πολλῶν ἔστι καὶ μαινομένων ἀπηλλάχθαι.* Πλ. *Παῦε. ἐκκέκρουκάς με ἐλπίδος.* Πλ. *Φαίδρῳ. Δοκεῖ μοι τοῦ αὐτοῦ ἀνδρὸς εἶναι καὶ εὐτυχοῦντα ἐξυβρίσαι καὶ πταίσαντα ταχὺ πτῆξαι.* Ξε.

A. 6. *Ἄγειν* marschiren mit seinen Compositen sagte man, wie ducere, eigentlich nur von dem Befehlshaber und als Object schwebte das Heer, die Soldaten vor. [Krüger zu Xen. An. 4, 8, 12.] Doch entschieden intransitiv findet sich *ὑπάγειν. Καιρός ἐστιν ἄγειν ἐπὶ τοὺς πολεμίους.* Ξε. *Παρήγγειλε τοῖς ἀπιοῦσιν ὑπάγειν ἐπὶ τῆς Ἠιόνος.* Θ.

A. 7. Manche Verba erscheinen nicht leicht anders als in Compositen intransitiv. So *μεταβάλλειν* wechseln, sich verändern, *ἐσβάλλειν* und *ἐμβάλλειν* sich ergießen, einfallen (in ein Land) und, wie *προσβάλλειν*, auch angreifen, *συμβάλλειν* zusammentreffen, *ὑπερβάλλειν* übergehen, z. B. *ὄρος*, über einen Berg, und übertreffen. *Μεταβεβληκυιῶν τῶν περὶ θεοὺς δοξῶν ἐν τοῖς ἀνθρώποις μεταβάλλειν χρὴ καὶ τοὺς νόμους.* Πλ. *Ἀχέρων ποταμὸς ἐσβάλλει ἐς τὴν Ἀχερουσίαν λίμνην.* Θ. *Ὁ Μαρσύας ποταμὸς ἐμβάλλει εἰς τὸν Μαίανδρον.* Ξε. *Ἱκανοί ἐσμεν ἐς τὴν χώραν εἰσβάλλειν.* Ξε. *Δοκεῖ πᾶσιν, ἐπειδὰν ἐμβάλωσιν οἱ πολέμιοι εἰς τὴν χώραν, τότε μάχεσθαι.* Ξε. *Ὀλίγοι πρὸς πολλοὺς ἐσέβαλον ἐς τὸ στράτευμα.* Θ. *Ξυνετύγχανε τὰ μὲν ἄλλοις ἐμβεβληκέναι, τὰ δὲ αὐτοὺς ἐμβεβλῆσθαι.* Θ. *Προσέβαλε τοῖς Ἀθηναίοις, τῇ πόλει, πρὸς τὴν πόλιν.* Θ. *Τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν.* Θ. *Εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δ' ἐνδεεστέρους ὄντας.* Ἰσ.

A. 8. Von *ἰέναι* finden sich bei Attikern wohl auch nur Composita intransitiv, wie *ἐξιέναι* sich ergießen, *καθιέναι* sich herablassen, *ἀνιέναι* nachlassen. *Ὁ Ἀχελῷος ποταμὸς ἐς θάλασσαν ἐξίησι παρ' Οἰνιάδας.* Θ. *Οἱ γέροντες συγκαθιέντες τοῖς νέοις εὐτραπελίας καὶ χαριεντισμοῦ ἐμπίπλανται.* Πλ. *Μήτε νὺξ μήτε ἡμέρα ἐπισχέτω σε ὥστε ἀνεῖναι πράσσειν τι.* Θ.

A. 9. Von *διδόναι* (das als Simplex bei attischen Prosaikern nicht leicht intransitiv vorkommt für sich hingeben) gebrauchten *ἐκδιδόναι* für sich ergießen wohl nur die Joner und Spätere; *ἐνδιδόναι* nachgeben und *ἐπιδιδόναι* zunehmen, Fortschritte machen auch die Attiker. [*Εἰώθασιν οἱ ἄνθρωποι οὐ ἐπιθυμοῦσιν ἐλπίδι ἀπερισκέπτῳ διδόναι.* (?) Θ.] *Ἴστρος ποταμῶν μέγιστος γέγονε, ποταμῶν καὶ ἄλλων ἐς αὐτὸν ἐκδιδόντων.* Ἡρ. *Οἱ ἄνθρωποι πεφύκασι τοῖς ἐκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι.* Θ. *Ὁρῶ ἐπὶ πάντων ὁμοίως καὶ φύσει διαφέροντας ἀνθρώπους καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας.* Ξε.

A. 10. Von *μιγνύναι* gebrauchte man intransitiv *προσμιγνύναι* und *συμμιγνύναι* zusammentreffen, freundlich sowohl als feindlich; selten *ἐπιμιγνύναι* verkehren, gewöhnlicher *ἐπιμίγνυσθαι. Ἐκέλευσεν ὑπάγειν, ὅπως οἱ τελευταῖοι λόχοι προσμίξειαν.* Ξε. *Σωθέντες οἱ ἀναβάντες μετὰ Κύρου συνέμιξαν Θίβρωνι.* Ξε. *Εἰ βούλοιντο ἀθρόοι ἐκ τοῦ τείχους προσπεσεῖν ποι, ὅπῃ προσμίξειαν πολὺ ἂν ῥᾳδιωμενέστερον συμμιγνύοιεν τῶν παριόντων.* Ξε. *Τῆς ἐμπορίας οὐκ οὔσης οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις οὐ χαλεπῶς ἀπανίσταντο.* Θ.

A. 11. Von *λείπειν* gebrauchte man auch intransitiv *διαλείπειν*

auseinander sein, dazwischen treten, selten ἀπολείπειν sich entfernen, wie häufiger ἀπαλλάσσειν davon kommen; über ἐλ-, ἐπι- und ἐκλείπειν 1 A. 3. Ἐπορεύετο ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων, τὰ δρεπανηφόρα καλούμενα. Ξε. Διαλιπούσης ἡμέρας μάχη αὖθις γίγνεται. Θ. (Οἱ Λακεδαιμόνιοι ἀπέλιπον ἐκ τοῦ Μηδικοῦ πολέμου. Θ.) Κυβερνᾶν κατασταθεὶς ὁ μὴ ἐπιστάμενος αἰσχρῶς ἂν καὶ κακῶς ἀπαλλάξειεν. Ξε.

A. 12. Wie ὑποφαίνειν anbrechen regelmäßig, so findet sich auch διαφαίνειν durchschimmern, παρακινεῖν und ὑποκινεῖν auch von Geistesverwirrung. Ἐπεὶ ἡμέρα (ἕως, ἔαρ) ὑπέφαινεν, ἐπορεύοντο. Ξε. (Τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον διὰ τοῦ προσώπου καὶ διὰ τῶν σχημάτων διαφαίνει. Ξε.) Πολλαὶ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ ταῖς ὡραίαις παρακεκινηκότων διαφθείρονται. Ξε. Ὁ μαινόμενος καὶ ὑποκεκινηκὼς οὐ μόνον ἀνθρώπων, ἀλλὰ καὶ θεῶν ἐλπίζει δυνατὸς εἶναι ἄρχειν. Πλ.

A. 13. Intransitive Bedeutung haben endlich die zweiten Perfecta von den sonst transitiven Verben ἄγνυμι, [δαίω,] ἐγείρω, [ἔλπω, κήδω,] μαίνω, οἴγω, ὄλλυμι, πείθω, πήγνυμι, ῥήγνυμι, σήπω, τήκω, φαίνω. Vgl. das Verz. § 40 u. B. 2 § 39. 40. Ueber ἕστηκα, εἱστήκειν und ἔστην B. 1 § 36, 9 A. 5; über δέδυκα und ἔδυν, πέφυκα und ἔφυν, [ἔσχληκα und ἔσχλην] s. δύω, φύω und σκέλλω § 40.

A. 14. Viele Intransitiva erhalten mit Präpositionen zusammengesetzt transitive Bedeutung. Beispiele § 46, 6 A. 8.

3. Die Neutra (activer Form) sind der Bedeutung nach theils Activa, wenn sie eine Thätigkeit ohne Einwirkung auf ein Object bezeichnen, wie βαίνειν, φεύγειν, βοᾶν; theils Passiva wenn sie ein Leiden an und für sich, nicht auch die Kraft von der es ausgeht bezeichnen, wie πάσχειν, πενθεῖν.

A. 1. Viele Neutra finden sich, da sie der Bedeutung nach dem Passiv ähnlich sind, auch wie dieses mit ὑπό und dem Ge. verbunden. Μὴ οἴεσθε τὰς τῶν ἀδικημάτων ἀρχὰς ἀπὸ θεῶν, ἀλλ' οὐχ ὑπ' ἀνθρώπων ἀσελγείας γενέσθαι. Αἰ. Τοιαύτας ὕβρεις ἐγὼ ἀκήκοα γεγονέναι ὑπὸ τοῦ ἀνθρώπου τούτου. Αἰ. Δίκην διδόασιν οἱ παραβάντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους. Ξε. Πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων. Λυ. Οἱ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν ὑπὸ Μίνω. Θ. — (Ἦλθε τῇ Ἑλλάδι κίνδυνος ὑπὸ βαρβάρων. Ξε. Ἐδόκει προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων. Θ. Δέομαι συμβῆναι ὑμᾶς ὥσπερ ὑπὸ διαιτητῶν συμβιβαζόντων. Πλ. —) Ἡ πόλις ἡμῶν εὐδόξησε τῶν τειχῶν ὑπὸ τῶν βαρβάρων πεπτωκότων. Αἰ. Παυσανίας ἐς τὴν εἱρκτὴν ἐσπίπτει ὑπὸ τῶν ἐφόρων. Θ. Οἱ Ἀλκμαιωνίδαι ὑπὸ τῶν τυράννων ἐξέπεσον. Δη. Τοιαύτῃ συμφορᾷ περιπέπτωκεν ὑπὸ τούτων. Δη. — Κριτίας ἔφυγεν ὑπὸ τοῦ δήμου. Ξε. Ὅτε πολλὰ εἶχον, ἀεί τι ἀπέβαλλον ἢ ὑπὸ τῆς πόλεως ἢ ὑπὸ τῆς τύχης. Ξε. Ἀπώλεσαν τὴν ἀρχὴν ὑπὸ Περσῶν Μῆδοι. Ξε. Προστάτης πόλεως οὐδ' ἂν εἷς ποτε ἀδίκως ἀπόλοιτο ὑπὸ τῆς πόλεως ἧς προστατεῖ. Πλ. Οὐχ ὑπὸ τῶν πληγῶν, ἀλλ' ὑπὸ τοῦ ἰατροῦ ὁ ἀνὴρ ἀπέθανεν. Ἀνδ. Νικόδημος ὑπ' Ἀριστάρχου τετελεύτηκε βιαίῳ θανάτῳ. Αἰ.

A. 2. Eben so findet sich ὑπό mit dem Ge. bei neutralen Verben mit Adverbien. *Οὕτω διάκειμαι ὑφ' ὑμῶν.* Ξε. *Πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα ἔχει;* Δη. *Τίς ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς εὖ πράξειεν ἄν;* Σο. *Οὐκ ἂν ἀξιώσαιτε κακῶς ἀκούειν ὑπὸ τῶν ὑμετέρων παίδων.* Δη.

A. 3. Außerdem kann ein Verbum mit seinem Object verbunden den Begriff eines Passivs enthalten und so ὑπό mit dem Ge. bei sich haben. *Ἤν τις παῖς ποτε πληγὰς λαβὼν ὑπ' ἄλλου καταίπῃ πρὸς τὸν πατέρα, αἰσχρόν ἐστι μὴ οὐκ ἄλλας πληγὰς ἐμβάλλειν τῷ υἱεῖ.* Ξε. *Αἰτίαν ἔσχον ὑπὸ τῶν ἑτέρων.* Πλ. *Φεύγει ὑπ' ἐμοῦ τὴν δίκην.* Δη. *Πολλοὶ οἷς ἐξῆν φίλοις χρῆσθαι, τούτοις δούλοις μᾶλλον βουληθέντες χρῆσθαι, ὑπ' αὐτῶν τούτων δίκην ἐδίδοσαν.* Ξε. *Ὑπὸ τούτου τοῦ ἀνθρώπου πάντα κακὰ ἀκούω.* Πλ.

A. 4. Da nach § 46, 5 auch Neutra eines Accusativs empfänglich sind, so können sie auch ein Passiv haben. *Ποῖον ἐρεῖς βίον ὃν οὐ βεβίωκας, ἐπεὶ ὅ γε βεβιωμένος σοι τοιοῦτος ὢν τυγχάνει;* Δη. *Ἤν τὰ παρ' ὑμῶν ὑπηρετῆται, ταχέως ὄψεσθε τὴν πόλιν εὐδαίμονα γεγενημένην.* Ἰσ. *Ἱκανὰ τοῖς πολεμίοις εὐτύχηται.* Θ. *Τὰ χρήματα κινδυνεύεται τῷ δανείσαντι.* Δη. *Οἱ ἱερεῖς τοῖς σώμασιν ἰατρικὴν ἐξεῦρον ἐπικουρίαν, οὐ διακεκινδυνευμένοις φαρμάκοις χρωμένην.* Ἰσ. *Διὰ τὴν Πλειστοάνακτος κάθοδον παρανομηθεῖσαν παίσματα ξυνέβαινεν.* Θ. *Τεθορύβημαι μή τινες ἀγνοήσωσί με ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοηθέσι τούτοις ἀντιθέτοις.* Αἰ.

A. 5. So finden sich denn besonders substantivirte Participia von Passiven mancher Neutra zum Theil in einer uns ziemlich fremdartig erscheinenden Weise, wie *τὰ σεσωφρονημένα* das mit besonnener Mäßigung Geübte, *τὰ ἠσεβημένα* das gottlos Verübte, *τὰ πεπονημένα* das mit Anstrengung Verrichtete, *τὰ πεπρεσβευμένα* das auf einer Gesandtschaft Ausgeführte, *τὰ πεπολιτευμένα* das in der Staatsverwaltung Gethane, *τὰ κινδυνευθέντα* das gefahrvoll Bestandene, *παρακεκινδυνευμένον* ein gewagter Ausdruck, *τὰ δυστυχηθέντα* die erlittenen Unfälle. *Τῶν σεσωφρονημένων ἐν τῷ βίῳ μοι χάριν ἀπειληφέναι νομίζω.* Αἰ. *Ἀνεμνήσθησαν πάντα τὰ ἠσεβημένα αὐτῷ.* Αν. *Θηβαῖοι τὸν Φίλιππον οὐκ ἠδύναντο κωλῦσαι τῶν αὐτοῖς πεπονημένων ὕστατον ἑλθόντα τὴν δόξαν ἔχειν.* Δη. *Τὰ πρόσθεν πεπραγμένα καὶ πεπρεσβευμένα ἀποκτείνειεν ἂν τὸν Αἰσχίνην δικαίως.* Δη. *Μέλλω λόγον διδόναι τήμερον τῶν κοινῇ πεπολιτευμένων.* Δη. *Οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα ὑφ' ἑνὸς ῥηθῆναι.* Αν. *Φθέγγεταί τι παρακεκινδυνευμένον.* Ἀρ. *Ἐπηνώρθησαν τὰ ὑφ' ἑτέρων δυστυχηθέντα.* Αν.

A. 6. Ausdrücke wie im Lateinischen **venitur, curritur** man kommt, läuft, sind im Griechischen nicht üblich. Auch in einer Verbindung wie *ὁποτέρως ἔσται ἐν ἀδήλῳ κινδυνεύεται* (Θ.) ist der Satz *ὁποτέρως ἔσται* als Subject zu nehmen.

II. Passiv.

4. Bei Passiven kann als Subject nicht bloß das nähere, sondern auch das entferntere Object des Activs eintreten, besonders wenn es ein persönlicher Begriff ist.

A. 1. So ſtehen Paſſiva deren Activa das Subject derſelben im Ge. oder Da. bei ſich haben würden. *Νικήρατος ἐρῶν τῆς γυναικὸς ἀντερᾶται. Ξε. Διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι· ἢν γὰρ καλῶς ἄρχεσθαι μάθωσι, πολλῶν ἄρχειν δυνήσονται. Ἰσ. Οὐχ ὑπό γε θεῶν ποτε ἀμελεῖται ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι. Πλ. Μὴ περιίδητε τοὺς προγόνους ἔτι μᾶλλον καταφρονουμένους ἢ νῦν καταπεφρόνηνται. Δη. — Οὐκέτι ἀπειλοῦμαι, ἀλλ' ἤδη ἀπειλῶ ἄλλοις. Ξε. Πολλοὶ διὰ τὸν πλοῦτον ἐπιβουλευόμενοι ἀπόλλυνται. Ξε. Ὁμολογεῖται κρεῖττον εἶναι πιστεύεσθαι ὑπὸ τῆς πατρίδος ἢ ἀπιστεῖσθαι. Ξε. Ὁ πένης ἐλεεῖται, ὁ δὲ πλούσιος φθονεῖται. Γν. Τάσσειν γε μᾶλλον ἢ 'πιτάσσεσθαι θέλεις. Εὐ.*

A. 2. Wenn das Activ zwei Objecte haben würde, ſo bleibt bei der Umwandelung ins Paſſiv der Ac. unverändert. So geht *ἐκκόπτειν τινὶ τὸν ὀφθαλμόν* über in *ἐκκόπτεταί τις τὸν ὀ.* Bei Verben die den Ge. regieren iſt dieſe Weiſe ſelten. *Βασιλείαν πασῶν δικαιοτάτην βασιλεύονται. Πλ. Οἱ δολιχοδρόμοι τὰ σκέλη μὲν παχύνονται, τοὺς δὲ ὤμους λεπτύνονται. Ξε. Τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν; Ξε. Εἰ ξυγχωρήσετε καὶ ἄλλο τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε. Θ.* Vgl. A. 8.

A. 3. Analog erſcheint dieſer Ac. auch bei zweiten Perfecten intranſitiver Bedeutung. *Ἑώρων τὸν Φίλιππον ὑπὲρ ἀρχῆς τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν κλεῖν κατεαγότα, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον. Δη.*

A. 4. Von *καταγιγνώσκειν* u. ä. Verben (§ 47, 24) ſagt man zwar *καταγιγνώσκεταί τις* nach A. 1; aber gewöhnlich *θάνατος καταγιγνώσκεταί τινος. Ἂν νόμῳ τις καταγνωσθῇ, οὐκ ἀποκτιννύουσιν ἐν ἑορτῇ. Ξε. Ἁπάντων θάνατος κατεγινώσκετο. Αν. — Κατηγόρηται Ἐπικράτους ἱκανά. Αν.*

A. 5. Auch der Dativ kann beim Paſſiv ſtehen, indem das Verbum entweder unperſönlich gebraucht wird oder ein Ac. des Activs Subject geworden iſt. Daher denn auch z. B. *τὰ ἐπιβεβουλευμένα.* Doch iſt dieſe Weiſe ſeltener als die A. 1 und 2 angegebene. *Ἀκούσας ἐπιβουλεύεσθαι τῇ πόλει βοηθῶν παρῆν. Ξε. — Νῦν σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα, ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται. Ἀρ. Οὐ περιεώρων τὰ γιγνόμενα ὡς καὶ ἐκείνοις ἐπιβουλευόμενα. Θ. Δίκης Λακεδαιμονίοις ἐπιτραπείσης τὴν γῆν ἕτεμον. Θ. (Ἀνέστησαν αὐτοὺς οἱ ἐπιτετραμμένοι τὴν φυλακήν. Θ.)*

A. 6. Von Verben die zwei Objectsaccuſative regieren wird beim Paſſiv der perſönliche Subject, der ſachliche bleibt unverändert. *Οὐδὲν ἄλλο διδάσκεται ἄνθρωπος ἢ ἐπιστήμην. Πλ. Ὑπὸ τῶν ἐχθρῶν περισυλᾶται πᾶσαν τὴν οὐσίαν. Πλ. Τισσαφέρνης ὑπὸ βασιλέως νεωστὶ ἐτύγχανε πεπραγμένος τοὺς φόρους. Θ. Αὐτὸ τοῦτο τὸ ὄνομα οἱ θεοὶ ὀρθῶς ἐκλήθησαν. Πλ. Ἡ καταφρόνησις ἐκ τοῦ πολλοὺς σφάλλειν τὸ ἐναντίον ὄνομα ἀφροσύνη μετωνόμασται. Θ. Δώδεκα ἡμῖν ἡ χώρα πᾶσα εἰς δύναμιν ἴσα μόρια νενέμηται. Πλ. (Σύμπασα ἡ χώρα κατὰ δώδεκα μέρη διανενέμηται. Πλ.)*

A. 7. So steht bei Passiven auch der Ac. des Inhalts (§ 46, 5 vgl. 6). *Πᾶσαν θεραπείαν ὡς ἰσόθεος θεραπεύεται ὑπὸ τοῦ ἐρῶντος. Πλ. Τὴν δόξασαν ζημίαν τοῖς ἄρχουσι ζημιούσθω. Πλ. Ἕκαστος ἂν αἰσχυνθείη τὴν τάξιν λιπεῖν ἣν ἂν ταχθῇ ἐν τῷ πολέμῳ. Αἰ. — Μίαν μάχην ἡττήθησαν. Ἀνδ. Ἰσαρίθμους πληγὰς μαστιγούσθω. Πλ. Μέγα τὸ ναυσὶ τοσοῦτον πλοῦν δεῦρο κομισθῆναι. Θ. Ἅλοὺς τὴν γραφὴν τῆς οὐσίας ᾔδειν ἑστηκόμενος. Ἀντ.*

A. 8. Eben so erscheinen bei Passiven häufig als Accusative der Art substantivirte Neutra von Adjectiven und Pronominaladjectiven. Vgl. A. 2 6. *Ἀπέρχομαι πρὶν ὑπὸ σοῦ τι μεῖζον ἀναγκασθῆναι. Πλ. Μεγάλα ἂν ζημιοῖο, εἰ τοὺς σαυτοῦ καταγελοίης. Ξε. Πολλὰ ἐλαττοῦμαι Αἰσχίνου. Δη. Ὦ δαῖμον ὡς ἀνάξι' ἠτιμώμεθα. Εὐ. — Ταῦτα μὲν ἡ πόλις βλάπτεται· ἐγὼ δ' ἰδίᾳ τί; θεάσασθε ἡλίκα. Δη. Μέμνησαι ὅ, τι ἠρωτήθης. Πλ. Ταῦτα οὐδεὶς ἂν πεισθείη ποτέ. Πλ. Τοσοῦτον ἠτιῶνται. Δη. Αἰσχίνης λιχνοφόρος καὶ τοιαῦτα προσαγορεύεται. Δη.*

5. Das Subject des Activs steht beim Passiv gewöhnlich entweder als Dativ (§ 48, 15 A. 3) oder mit *ὑπό* im Genitiv. *Βούλονται πάντες ὑπὸ τῶν παίδων θεραπεύεσθαι. Αν. Οἱ μὲν ὑπὸ νόμων ἐθέλοντες ἄρχεσθαι σώφρονες καὶ ἐλεύθεροι καὶ χρηστοὶ νομίζονται, οἱ δ' ὑπὸ τῶν ὀλιγαρχιῶν ἄνανδροι καὶ δοῦλοι. Δη. Τὸ κεκινῆσθαι ὑπὸ τῶν βρωμάτων καὶ τῆς πόσεως πάνυ ὕϊκὸν καὶ θηριῶδες δοκεῖ εἶναι. Ξε.*

A. 1. *Παρά* mit dem Ge. findet sich besonders bei Passiven die ein Geben oder eine Aeußerung bezeichnen, und zwar in Verbindung mit persönlichen Begriffen. Nicht häufig ist *ἀπό*, von einem Ausgehen oder einer Veranlassung gebraucht. *Ἁρμοδίῳ καὶ Ἀριστογείτονι μέγισται δέδονται δωρεαὶ παρ' ὑμῶν καὶ ὑπὲρ μεγίστων. Δη. Τὸ ὁμολογηθὲν παρὰ βελτιόνων που κυριώτερον ἢ τὸ παρὰ χειρόνων. Πλ. — Ἐπράχθη ἀπὸ τῶν τυράννων οὐδὲν ἔργον ἀξιόλογον. Θ. Γνῶμαι ἀφ' ἑκάστων ἐλέγοντο. Θ.*

[A. 2. Sehr selten bei Passiven ist in der attischen Prosa *πρός* mit dem Ge.; *ἔξ* steht meist nur und auch dies nicht oft bei Verben des Gebens. Vgl. § 68, 37 A. 3 u. 17 A. 9. *Κῦρος ὁμολογεῖται πρὸς πάντων κράτιστος δὴ γενέσθαι θεραπεύειν φίλους. Ξε. Τοῦτό μοί πως ἐκ θεοῦ δέδοται, ταχὺ οἵῳ τ' εἶναι γνῶναι. Πλ.*]

6. Die passive Form findet sich von manchen Verben auch wo das Subject zu seinem Leiden thätig mitwirkt und wo wir Activa mit dem Reflexiv oder auch bloße Activa gebrauchen: mediales Passiv.

A. 1. Als wirkliche Passive erkennbar sind diese Verba an ihren Aoristen. *Ἠθροίσθησαν καὶ ἀντιπαρετάξαντο. Ξε. Ξυστραφέντες τοὺς πολεμίους κωλύσουσι διελθεῖν. Θ. Συ-*

σπειραθέντες ἐχώρουν ἐῤῥωμένως. Ξε. Τὸ εὐώνυμον διεσπάρη. Ξε. Οἱ Ἕλληνες διεκρίθησαν πρός τε Ἀθηναίους καὶ Λακεδαιμονίους. Θ. Σεισμοῦ γενομένου διελύθησαν ἕκαστοι ἐπ' οἴκου. Θ. — Πῇ πορευθεὶς τὸν βίον ὡς ἄριστ' ἂν διέλθοι; Πλ. Αὐτερέται ἐκομίσθησαν. Θ. Ὁ Ἀλκιβιάδης ἐπὶ πλοίου ἐπεραιώθη ἐς Πελοπόννησον ἐκ τῆς Θουρίας. Θ. Παντὸς φυτοῦ ἡ πρώτη βλάστη καλῶς ὁρμηθεῖσα πρὸς ἀρετὴν τῆς αὐτοῦ φύσεως κυριωτάτη τέλος ἐπιθεῖναι. Πλ. Οὐ χρὴ ἀπαρασκεύους ἐπειχθῆναι. Θ. Ἐν τοῖς ἀγαθοῖς ἡ πόλις ἡμῶν οὐκ ἀπελείφθη. Ἰσ. Δημήτηρ ἀφίκετο εἰς τὴν Ἀττικὴν ὅτ' ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης. Ἰσ. Κινηθῆναι οὐκ ἐδύναντο ἐκ τοῦ χωρίου. Ξε. Οὐδεὶς ἔτι πέτρος ἄνωθεν ἠνέχθη. Ξε. Οἱ εἰς ἔρωτας ἐκκυλισθέντες ἧττον δύνανται τῶν τε δεόντων ἐπιμελεῖσθαι καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. Ξε. Βληθεὶς μετεσιράφη. Ξε. Οὗτοι τοῦτο πώποτε ἐπείσθην ὡς ἡ ψυχή, ὅταν τοῦ σώματος ἀπαλλαγῇ, τέθνηκεν. Ξε. Οὐκ ἔστι χωρίον ἐγγὺς ὅποι ἂν μαλακισθέντες σωθείητε. Θ. — Εὐωχηθέντες ὑβρίζουσιν. Ἀρ. Ἡ βουλὴ συνειστιάθη. Δη. Ἔχει ἔστι πόα καθέζεσθαι ἢ κατακλιθῆναι. Πλ. Χρὴ ὕπνου ἐγκρατῆ εἶναι, ὥστε δύνασθαι καὶ ὀψὲ κοιμηθῆναι. Ξε. Ὄναρ ἰδὼν ἐξηγέρθη. Ξε. — Ἐποίησα οὐδὲν ἐφ' ᾧ ἠσχύνθην. Ξε. Ἀνιαθεὶς κατέσχε τὸν φθόνον. Ξε. Ἐπειδάν τις σφόδρα ἡσθῇ ἢ φοβηθῇ ἢ λυπηθῇ ἢ ἐπιθυμήσῃ, κακὸν ἔπαθεν ἀπ' αὐτῶν. Πλ. Ὡς ἤκουσε τοῦ ἀγγέλου, ἐξεπλάγη καὶ ἐφοβεῖτο. Ξε. Πρὸς τὰς ἀγγελίας κατεπλάγη. Θ. Οἱ ἀγαθοὶ ἄν τι ὀργισθῶσι τοῖς γονεῦσιν, αὐτοὶ ἑαυτοὺς παραμυθοῦνται. Πλ. Θυμωθεὶς τοῖς αἰτίοις σπουδαιότερον εἶπον ἃ εἶπον. Πλ. Μὴ ψευσθῆναι ποιήσωμεν τῶν ἐλπίδων τοὺς εὔνους ἡμῖν ὄντας. Ἰσ. — Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. Ἰσ. Παθήματα μεγάλα ξυνηνέχθη γενέσθαι τῇ Ἑλλάδι. Θ. Πρὸς τοὺς πολίτας μετὰ πραότητος προσηνέχθην. Ἰσ. Διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι ἐπολέμησαν πρὸς ἀλλήλους. Θ. Νομίζομεν τὰς μεγάλας ἔχθρας μάλιστ' ἂν διαλύεσθαι ἤν τις μετρίως ξυναλλαγῇ. Θ. Νῦν πρὸς ἀλλήλους δι' ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι. Θ. — Θάρσει· λέγων τἀληθὲς οὐ σφαλεῖ ποτε. Σο.

A. 2. Manche der angeführten Verba finden ſich eben ſo wohl auch in der eig. paſſiven Bedeutung, wie ἀθροίζεσθαι, κομίζεσθαι, κινεῖσθαι, φέρεσθαι, σώζεσθαι; von den übrigen erſcheinen die Simplicia überhaupt und die Compoſita wenigſtens in der uneigentlichen Bedeutung nicht leicht anders als in medial paſſivem Sinne. Πείθεσθαι, πεισθῆναι heißt ſowohl überredet werden, ſich überreden, bewegen laſſen als glauben, trauen, gehorchen, hat aber in der letztern Bedeutung das Futur πείσομαι. Φαίνεσθαι (φανθῆναι) heißt gezeigt werden, φαίνεσθαι, φανῆναι, φανήσεσθαι und φανεῖσθαι erſcheinen. Ἀσκληπιὸς ὑπὸ χρυσίου ἐπείσθη πλούσιον ἄνδρα ἤδη θανάσιμον ὄντα ἰάσασθαι. Πλ. Ἦ ῥᾳδίως πεισθησόμεθα τῷ παντελῶς ὄντι μὴ παρεῖναι ζωήν; Πλ. — Τὸν μῦθον ὅπως ἂν πεισθεῖεν, ἔχεις τινὰ μηχανήν; Πλ. Ὁ πεισθεὶς τῷ νόμῳ ἀναίσθητος τῶν ἀπ' αὐτοῦ κακῶν γίγνοιτ' ἄν. Πλ. Ἡμεῖς οὐ πεισόμεθα αὐτοῖς ἀμφότερα. Πλ. Πότε οὕτως Ἀθηναῖοι ὥσπερ Λακεδαιμόνιοι πείσονται τοῖς ἄρχουσιν; Ξε. — Θάνατον ὡρίσατο, ἐὰν ἀποφανθῇ χρήματα εἰληφώς. Δεί. Ἡ Σπάρτη δυνατωτάτη καὶ ὀνομαστοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη. Ξε. Οὐ πάνδεινον φανεῖται ἡ ἀδικία, εἰ θανάσιμον ἔσται τῷ ἀδικοῦντι· ἀπαλλαγὴ γὰρ ἂν εἴη κακῶν· ἀλλὰ μᾶλλον οἶμαι αὐτὴν φανήσεσθαι πᾶν τοὐναντίον τοὺς ἄλλους ἀποκτιννῦσαν. Πλ.

A. 3. Einige der hieher gehörigen Passive nehmen transitive Bedeutung und einen Ac. an. So *περαιοῦσθαι*, z. B. *πέλαγος* über ein Meer setzen; *φοβεῖσθαι*, *κατα-* und *ἐκπλήσσεσθαι*. S. § 46, 10 A. 1.

A. 4. Da diese Bedeutung der medialen sehr nahe verwandt ist, so schwanken mehrere der hieher gehörigen Verba zwischen dem passiven und medialen Aorist. Man s. im Index der Anomala *γυμνάζεσθαι*, *ἐπείγεσθαι*, *ὀρέγεσθαι*, *ἀνάγεσθαι* unter *ἄγειν*, *ὁρμίζεσθαι*, *ὁπλίζεσθαι*, *μαλακίζεσθαι*. Ueber *ἀπορεῖσθαι* 2c. 8 A. 9. *Μάλιστ' ἂν παροξυνθείης ὀρεχθῆναί τῶν καλῶν ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων μάλιστα γνησίως ἔχομεν. Ἰσ. Τίς τῶν μεγίστων δειλὸς ἂν ὠρέξατο. Εὐ.*

III. Medium.

A. 16. Allgemein steht der Inf. nach den Begriffen des Vorsatzes (*προαιρετικά*) und Strebens (*ἐφετικά*). So auch bei *αἱρεῖσθαι* wählen, *δέχεσθαι* sich gefallen lassen, *προσποιεῖσθαι* sich stellen als ob. *Οἱ ἀγαθοὶ ἐπιπονεῖν ἐθέλουσιν.* Ξε. *Καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε.* Γν. *Ὅστις πένης ὢν ζῆν ἐν ἄστει βούλεται ἀθυμότερον ἑαυτὸν ποιεῖν ἐπιθυμεῖ.* Μέ. *Μὴ βούλου περιδεεῖς εἶναι τοὺς μηδὲν ἀδικοῦντας.* Ἰσ. *Οἱ ἀπιστοῦντες τῇ ἐξ ἑαυτῶν ξυνέσει ἀμαθέστεροι τῶν νόμων ἀξιοῦσιν εἶναι.* Θ. *Οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρᾳ κτείνειν τὸν ἐχθρὸν ἀλλ' ἰὼν κατὰ στόμα.* Εὐ. *Οἱ Ἀθηναῖοι ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι.* Θ. [*Δικαιῶ τοῖς κοινῇ δόξασι βοηθεῖν.* Θ.] *Θανεῖν μὲν οὐ χρήζω, λιπὼν δ' ἂν οὐδὲν ἀχθοίμην βίον.* Εὐ.— *Ὦ φιλόζωοι βροτοί, οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν ποθοῦσ' ἔχοντες μυρίων ἄχθος κακῶν.* Εὐ. *Οὐ χρὴ πλουτεῖν ζητεῖν τὸν εὐδαίμονα ἐσόμενον.* Πλ. *Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχὺ πένης γένῃ.* Γν. *Σωκράτης μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν.* Ξε. *Οὐ λόγοισι τὸν βίον σπουδάζομεν λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.* Σο. *Οἱ διδάσκαλοι παραιθέασι τοῖς παισὶν ἐπὶ τῶν βάθρων ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα, ἵνα ὀρέγωνται τοιοῦτοι γενέσθαι.* Πλ. *Τύραννον πᾶς ἐφίεται φυγεῖν.* Σο. *Εἶναι τὸ ἀγαθὸν αὐτοῖς ἐρῶσιν.* Πλ. *Ὁρῶ ὑμᾶς ὡρμημένους στρατεύειν.* Θ. (*Ἀγωνίσασθε τοῖς Ἕλλησιν ἄρξαι πρῶτοι τῆς ἐλευθερίας.* Θ. *Διαμάχομαι μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα.* Θ. *Ἀμφισβητεῖ ἀνὴρ εἶναι.* Αἰ. *Ἀντιποιεῖται ταῦτα κατὰ πόλεμον λαβὼν εἰκότως ἔχειν.* Αἰ.) — *Ἑλοίμην (δεξαίμην) ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν.* Πλ. *Προαιρεῖσθε τὸ κατεπεῖγον μᾶλλον πράττειν ἢ τῇ γαστρὶ χαρίζεσθαι.* Ξε. — *Εἰσὶν ἀπατηλαί τινες δέσποιναι προσποιούμενοι ἡδοναὶ εἶναι, κυβεῖαί τε καὶ ἀνωφελεῖς ἀνθρώπων ὁμιλίαι.* Ξε.

„*Χρύσεα χαλκείων*“ *διαμείβεσθαι νοεῖς.* Πλ. *Ἐπὶ βλάβῃ τῇ τῶν γυναικῶν τις τυραννεῖν ἐπινοεῖ.* Ἀρ. *Ὦ Ζεῦ τί δρᾶσαι διανοεῖ με τήμερον;* Ἀρ. *Ὅστις γαμεῖν βουλεύετ' οὐκ ὀρθῶς βουλεύεται, διότι βουλεύεται χοὔτω (καὶ οὕτω) γαμεῖ.* Γν. *Ἐπεβούλευε διαβάλλειν με πρὸς ὑμᾶς.* Ξε. *Γαμεῖν κεκριικότα δεῖ σε γιγνώσκειν ὅτι ἀγαθῶν μεθέξεις, ἂν λάβῃς μικρὸν κακόν.* Γν.

Ἕτοιμός εἰμι ἐπαινεῖν, ἄν τι καλῶς λέγῃς. Πλ. *Οὐδεὶς πώποτε ὦ δέσποτ' ἀπέθαν' ἀποθανεῖν πρόθυμος ὢν· τοὺς γλιχο-

μένους δὲ ζῆν κατασπᾷ τοῦ σκέλους ἄκοντας ὁ Χάρων. Ἀντιφάνης. — Τί ἐν νῷ ἔχεις ποιεῖν; Πλ. Ἥκω ἐκμαθεῖν σπουδὴν ἔχων εἰ ταῦτ' ἀληθῆ. Εὐ. Νόμιζε πᾶσάν με προθυμίαν συνέξειν ταῦτά σοι πραχθῆναι. Ξε. Πολλὴν πρόνοιαν ἔσχεν εὐσχήμως πεσεῖν. Εὐ.

A. 17. Ueber den Inf. des Fu. nach diesen Verben § 53, 7 A. 11.

A. 18. Mit dem Inf. verbunden werden auch die (entgegengesetzten) Begriffe der Furcht wie der Scheu und des sich Hütens, Hinderns Verschiebens u. ä., in sofern der Begriff der Abgeneigtheit, des Sträubens in ihnen vorherrscht. Vgl. 56, 6 A. 5. Φοβοῦνται πανταχοῦ λέγειν τὰ μὴ σύμφορα βασιλεῖ. Ξε. Δέδοικα περὶ τῶν θεῶν διαλέγεσθαι. Πλ. (Τὰς συμφορὰς δὴ τῶν κακῶς πεπραγότων οὐπώποθ' ὕβρισ', αὐτὸς ὀρρώδων παθεῖν. Εὐ.) Ὀκνῶ προδότης καλεῖσθαι. Σο.— „Φεύγει οὐδὲ μένει οὐδ' αἰδεῖται κακὸς εἶναι." Πλ. Προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε. Αἰσχ. Αἰσχύνεται δὲ τἀγάθ' ἀσκήσας ἀνὴρ κακὸς κεκλῆσθαι πᾶς τις. Εὐ. Τὰ δίκαια πάντες αἰσχύνονται μὴ πράττειν. Δη. Θνητὸς πεφυκὼς μὴ εὐλαβοῦ τεθνηκέναι. Γν. — Κακῶς παθεῖν ὑπὸ τῶν κρειττόνων οὐδὲν κωλύει καὶ τοὺς μηδὲν ἐξημαρτηκότας. Ἰσ. (Τοὺς ἱππέας ἐκώλυσε τοῦ καίειν. Ξε. vgl. § 47, 13.) Μηδεὶς νόμος ἀπειργέτω ποιεῖσθαι υἱόν. Πλ. Τὸ δαιμόνιόν μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν. Πλ. — Ἀνεβάλλετό μοι διαλεχθῆναι.

A. 19. Ueber μή nach diesen Begriffen s. § 54, 8 A. 9 — 11.

A. 20. In lockerem Verhältnisse bezeichnet der Inf. die Handlung zu deren Behuf die Haupthandlung erfolgt und drückt so mittelbar auch eine beabsichtigte Folge aus: zu, um zu Vgl. A. 12. So bei Verben die ein anderes Object bei sich haben wie auch bei Passiven und Neutren. Γῆ ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφει τῷ κρατοῦντι λαμβάνειν. Ξε. Οὐκ ἂν τὸν αὐτοῦ παῖδά τις δοίη κτανεῖν. Εὐ. Γοργίας παρέχει ἑαυτὸν ἐρωτᾶν τῶν Ἑλλήνων τῷ βουλομένῳ ὅ, τι ἄν τις βούληται. Πλ. Διέλαβον τὸ μέρος ἕκαστος φυλάττειν τοῖς θεοῖς. Ξε. Ὅς ἂν ὑμᾶς λάθῃ, τοῦτον ἀφίετε τοῖς θεοῖς κολάζειν. Δη. Τὸ ἥμισυ φυλάττειν καταλιπε τὸ στρατόπεδον. Ξε. Τὴν ἡλικίαν σοῦ περιμένει ὁ πατὴρ ἐπιτρέπειν πάντα. Πλ. Ἡμᾶς ἔπεμψε τοὺς λόγους ὑμῖν φράσαι. Εὐ. — Τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν. Δη. Ἄρχοντας εἵλεσθε ἄρχειν μου. Πλ. Νομιοῦσί σε καὶ αὐτὸν καταδικάζειν σαυτοῦ πάντα τὰ ἔσχατα παθεῖν. Ξε. — Τοῖς μὲν ἡγεῖσθαι δέδοται, τοῖς δ' ἕπεσθαι τέτακται. Ξε. Δεῖ τοὺς ἄρχειν αἱρεθέντας τῶν κτημάτων τῶν ἰδίων ἀμελεῖν. Ἰσ. Ἡ θύρα ἡ ἐμὴ ἀνέῳκτο τῷ δεομένῳ εἰσιέναι. Ξε. — Πολλαὶ πέλται ἦσαν φέρεσθαι. Ξε. Ἐμοὶ οὐκ ἐθέλει γενέσθαι τὰ ἱερὰ ἐξάγειν. Ξε.— Ἀκμάζειν ἡγοῦμαι ἐρύκειν ἀπ' ἐμοῦ τὰ κακά. Ξε. — Ξυνέβησαν Βυζάντιοι ὑπήκοοι εἶναι. Θ. Ξυνέκειτο αὐτοῖς τῶν πυλῶν ἠνοιχθεισῶν ἐσπίπτειν τοὺς Ἀθηναίους. Θ.

A. 21. In eben dem Verhältnisse steht der Inf. bei den hiehergehörigen Transitiven oft auch da wo zu ihnen ein Object, wie z. B. τι, bloß zu ergänzen ist. Wie man nämlich sagt οἶνον πιεῖν ἔδωκά σοι (Eur. Cycl. 520) und οἰνόν μοι ἐγχεῖς πιεῖν (Ar. Wesp. 616), so auch bloß πιεῖν, φαγεῖν πέμπω (Xen. Cyr. 4, 5, 1 vgl. 7, 1, 1), δίδωμι Ar. Ritter 706, ἐγχέω (eb. 118), λαμβάνω (Eur. Cycl. 561). Λιψῶντι

πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς. Σο. Πολλάκις οἱ κάμνοντες οὐκ ἐθέλουσι καῦσαι παρασχεῖν τῷ ἰατρῷ. Πλ. — Ὑπόσχες Σωκράτει ἐξελέγξαι. Πλ.

III. Der Infinitiv bei Begriffen der Vorstellung und Aeußerung.

4. Bei den Begriffen der Vorstellung und Aeußerung bezeichnet der Inf. zwar etwas Wirkliches, aber nur als subjectiv Aufgefaßtes oder Angenommenes.

A. 1. Wenn das Subject des Inf. mit dem des Hauptsatzes zusammenfällt, so wird es gar nicht oder im Ac. ausgedrückt; ein etwa zugehöriges Prädicat aber steht im Nominativ vgl. § 55, 2 A. 1; eben so appositiv zugefügte Begriffe. Wenn das Subject des Inf. ein verschiedener Begriff ist, so tritt der Ac. mit dem Inf. ein. Nicht gescheut wurden zwei Accusative, wenn der Sinn die Zweideutigkeit beseitigt. Εἶναι δίκαιος καὶ δοκεῖν εἶναι θέλει. Γν. Ἐοίκασιν οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι. Ξε. Πιστεύουσιν ἀλλήλοις μηδὲν αἰσχρὸν προσιάττειν τοῖς παισίν. Ξε. Ἔλπιζε τιμῶν τοὺς γονεῖς πράξειν καλῶς. Γν. Ὧν γ' ἂν μὴ ὦσι νόμοι, γνώμῃ τῇ δικαιοτάτῃ δικάσειν ὁμωμόκατε. Δη. Προφασίζεται ἀρρωστεῖν. Δη. — Δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν. Εὐ. Ἠλίθιός ἐστιν εἴ τις οἴεται διὰ τὸν πλοῦτον, μηδὲν ἐπιστάμενος, δόξειν τι ἀγαθὸς εἶναι. Ξε. Ὅταν εὐπορῶν τις αἰσχρὰ πράττῃ πράγματα, τί τοῦτον ἀπορήσαντα πράξειν προσδοκᾷς; Γν. (Καταδικάζω ἐμαυτοῦ, εἴ τινος βιαίου ἐξάρχω, τῆς ἐσχάτης δίκης ἄξιος εἶναι. Ξε. Κελεύει ἐάν τις καταγνωσθῇ ἀδικεῖν, ἀποθανόντα εἰς τὸ βάραθρον ἐμβληθῆναι. Ξε.) Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν. Ἰσ. Βοιωτοὶ ἀπειλοῦσιν αὐτοὶ καθ' ἑαυτοὺς ἐμβαλεῖν εἰς τὴν Ἀττικήν. Ξε. — Οὐδένα οἶμαι δαιμόνων εἶναι κακόν. Εὐ. Ὅ, τι ἂν ποιῇς νόμιζ' ὁρᾶν θεούς τινας. Γν. Μεγίστην ἡγοῦμαι ξυμμαχίαν εἶναι καὶ βεβαιοτάτην τὸ τὰ δίκαια πράττειν. Ἰσ. Ἐγὼ ὑπέλαβον χρησίμους εἶναι θεοὺς τὰργύριον ἡμῖν καὶ τὸ χρυσίον μόνον. Μέ. Σωκράτης τὸ ἀγνοεῖν ἑαυτὸν ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι. Ξε.— Οὔποτε φήσω γάμον εὐφραίνειν πλέον ἢ λυπεῖν. Εὐ. Πρωταγόρας ἔλεγε πάντων χρημάτων μέτρον εἶναι ἄνθρωπον. Πλ. Πάντες ἂν ὁμολογήσαιτε ὁμόνοιαν μέγιστον ἀγαθὸν εἶναι πόλει, στάσιν δὲ πάντων κακῶν αἰτίαν. Λυ. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. Ἰσ. Ἠτιῶντο αὐτοὺς καὶ Κορινθίους πεῖσαι μὴ συστρατεύειν. Ξε. — Τὸνζῶντα καίνειν τοὺς τεθνηκότας λέγω. Αἰσ.

A. 2. Nach δοκῶ, λέγομαι und ähnlichen Passiven erscheint der Nom. mit dem Inf., wenn das Subject, der Ac. mit dem Inf., wenn dessen Inhalt der Hauptbegriff ist. Ἔδοξε σκηπτὸς πεσεῖν εἰς τὴν οἰκίαν καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν. Ξε. Πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς λέγεται οἷός τ' εἶναι. Πλ. Λέγεται καὶ τοὺς θεοὺς ὑπὸ τοῦ Διὸς βασιλεύεσθαι. Ἰσ. Ἔρως ὁμολογεῖται παρὰ πάντων μέγας θεὸς εἶναι. Πλ. Ὁμολογεῖται τοὺς ἀπὸ τοῦ Διὸς

εὐγενεστάτους τῶν ἡμιθέων εἶναι. Ἰσ. Κριθέντες μηδὲν συνειδέναι ἀγείθησαν. Ξε.

A. 3. Die persönliche Construction, der bloße No. mit einem aus dem Verbum des Hauptsatzes zu denkenden Inf., ist bei δοκῶ, ἔοικα, φαίνομαι und Passiven, wie λέγομαι, auch in Zwischensätzen mit ὡς üblich. Καλῶς ἄρ' ὄντως εἶχες, ὡς γ' ἐμοὶ δοκεῖς. Ἀρ. Ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι. Εὐ. Οὐχ ἧσπου τοῖς λεχθεῖσιν, ὡς φαίνει. Πλ. Οἱ Εὐρυτᾶνες ὠμοφάγοι εἰσίν, ὡς λέγονται. Θ.

A. 4. Zuweilen erscheinen Activa von Verben der Vorstellung und Aeußerung ohne Inf. bloß mit zwei Accusativen, wie δοκεῖν und Passiva bloß mit zwei Nominativen, wobei man ohne Noth εἶναι zu ergänzen pflegt, da jene Verba auch an sich ein Prädicat einem Subject anfügen können. Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους. Μέ. Τὸ κέρδος ἡγοῦ κέρδος, ἂν δίκαιον ᾖ. Μέ. Λόγον παρ' ἐχθροῦ μή ποθ' ἡγήσῃ φίλον. Γν. Ἐγὼ μὲν ἄπιστον καὶ θεοῖς ἐχθρόν, οὐ μόνον ἀνθρώποις, ὑπολαμβάνω τὸν γονέων ἀμελοῦντα. [Δη.] Τὸ μηδὲν ἀδικεῖν ἐκμαθεῖν ἀστεῖον ἐπιτήδευμα κρίνω τῷ βίῳ. Μέ. — Κεφάλαιον παιδείας λέγομεν τὴν ὀρθὴν τροφήν. Πλ. Φασὶν κακίστους οἱ πονηροὶ τοὺς κακούς. Μέ. Τὰς καλὰς πράξεις ἁπάσας ἀγαθας ὡμολογήσαμεν. Πλ. Τὴν σιγήν σου συγχώρησιν θήσω. Πλ. Τὴν ἀληθῆ δόξαν ἐπιστήμην ὁρίζει. Πλ. — Κρεῖσσον οὐδὲν ἀνάγκης εὗρον. Εὐ.

Τυφλόν τι τἀνόητόν μοι δοκεῖ. Μέ. Τὸ θανεῖν κακῶν μέγιστον φάρμακον νομίζεται. Εὐ. Τὸ θεῖον ὑπολαμβάνεται βοηθεῖν τοῖς ἀδικουμένοις. Ἀρλ. Κράτιστοι ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. Θ. Ταῦτα διεγνωσται ἄριστα τῶν ἐπιτηδευμάτων ἃ καὶ τοῖς πολλοῖς καὶ τοῖς ὀλίγοις ἁρμόττοντα μάλιστα τυγχάνει καὶ πλείστους ἐπιθυμητὰς ἔχει. Ἀνδ. (Γνωσθέντες ὧν ἐπεθύμουν εἰς ταραχὰς κατέστησαν. Ισ.) — Τὸ πάλαι τύραννος ὁ Ἔρως λέγεται Πλ. Αἴσχιστον ἀδικία καὶ σύμπασα ψυχῆς πονηρία ὁμολόγηται ἡμῖν. Πλ.— (Νόσον ψυχῆς ἄνοιαν συγχωρητέον. Πλ. Ἡδονὰς καὶ λύπας ὑπερβαλλούσας τῶν νόσων μεγίστας θετέον τῇ ψυχῇ. Πλ.)

(A. 5. Auch nach den Verben des Nennens findet sich besonders bei Her. und Plato, der Ac. mit dem Inf. εἶναι, dieser für uns pleonastisch. Μάντεις ὀνομάζουσι τοὺς προσημαίνοντας εἶναι. Ξε. Πάσας ἡδονὰς ἀγαθὸν εἶναι προσαγορεύεις. Πλ.)

(A. 6. Zuweilen findet sich auch der Inf. wo eig. ein verbum finitum und das regierende Verbum mit ὡς als Zwischensatz eintreten sollte. Τοὺς στρατηγούς, οἳ ἐνίκων ναυμαχοῦντες, ὅτι διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανατῳ ἐζημιώσατε. Αν.)

(A. 7. Andrerseits kann ὡς, ὅ mit einem solchen Verbum und doch mit Bezug auf dasselbe statt des Indicativs der Inf. oder ὅτι folgen. Τόδε, ὡς οἶμαι, ἀναγκαιότατον εἶναι λέγειν. Πλ. Παντάπασι, ὃ καὶ κατ' ἀρχὰς εἴπομεν τοῦδε τοῦ λόγου, ὅτι οὐδὲν ἀληθείας μετέχειν δέοι τὸν μέλλοντα ἱκανῶς ῥητορικὸν ἔσεσθαι. Πλ.)

A. 8. Umgekehrt werden Verba wie δοκεῖν, οἴεσθαι, φάναι ohne

ὅτι oder ὡς ſelbſtſtändigen Sätzen zugefügt. *Πρὸ τῶν Τρωικῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς, δοκεῖ δέ μοι οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν, ἀλλὰ πρὸ Ἕλληνος οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη. Θ. Ἔλθοις ἂν ἡμῖν εἰδὼς πάντα τὰ τῶν πολεμίων· οἶμαι δὲ καὶ λόγων καὶ βουλευμάτων κοινωνὸν ἄν σε ποιοῖντο. Ξε. Οἶδ' ἐγὼ γνώσει κακοῦ θυμοῦ τελευτὴν ὡς κακὴ προσγίγνεται. Σο. — Τὰ μὲν ἐκ τοῦ παραχρῆμά μοι διῄει, τὰ δὲ πρότερον ἐσκεμμένη, ὅτε μοι δοκεῖ συνετίθη τὸν ἐπιτάφιον λόγον. Πλ. Κύπρις τοῦτον λαβοῦσα πῶς δοκεῖς καθύβρισεν. Εὐ. Τίνες φὴς ἦσαν οἱ λόγοι; Πλ. — Ταύτην πίνειν ἠνάγκαζον οὗτοί μοι δοκεῖ. Δη. Τί ἀπολογησόμεθα φής; Πλ.*

A. 9. In obliquer Rede findet ſich zuweilen der Inf. auch nach Relativen und den Conjunctionen ὡς, ὅτε, ἐπεί, ἐπειδή. *Οὐκ ἄν ποτε φαῖμεν ἀληθείᾳ χορὸν κακὸν ἀκολουθῆσαι, ἀλλ' ὑγιές τε καὶ δίκαιον ἦθος, ᾧ καὶ σωφροσύνην ἕπεσθαι. Πλ. Ἔφη ἀφικνεῖσθαι τεταρταίους ὅθεν καθορᾶν ἄνωθεν διὰ παντὸς τοῦ οὐρανοῦ καὶ γῆς τεταμένον φῶς εὐθύ. Πλ. Οἱ Λακεδαιμόνιοι δέκα ἄνδρας Σπαρτιατῶν προσείλοντο βασιλεῖ, ἄνευ ὧν μὴ κύριον εἶναι ἀπάγειν στρατιὰν ἐκ τῆς πόλεως. Θ. — Ὡς ἀκοῦσαι τοὺς παρόντας, θόρυβον γενέσθαι φασίν. Δη. Λέγειαι Ἀλκμαίωνι, ὅτε δὴ ἁλᾶσθαι αὐτόν, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν. Θ. Φασὶν ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι καὶ οὐ πράττειν διὰ ταῦτα τὰ βέλτιστα, ἐπεὶ γιγνώσκειν. Πλ. Τοῦτ' ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστίν, ἐπειδὴ τὸ μὲν νόμιμον δίκαιον εἶναι, τὸ δὲ ἄνομον βίαιον. Ξε.*

A. 10. Wenn ὅτι und ὡς daß mit dem Inf. ſtehen, ſo iſt dieſer geſetzt als ob die Conjunction nicht vorherginge, alſo eine Vermiſchung zweier Conſtructionen. *Νομίζω ὅτι ὅστις ἐν πολέμῳ ὢν στασιάζει πρὸς τὸν ἄρχοντα, τοῦτον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν. Ξε. Νομίζειν χρὴ ὡς ἄνδρας ἀγαθοὺς μᾶλλον ἢ κακοὺς αὐτοὺς γενήσεσθαι. Ξε.*

A. 11. Nicht ſelten iſt der Inf. auch beſonders zu den § 56, 3 A. 1 erwähnten Begriffen, aus dem Vorhergehenden oder wohl auch aus dem Folgenden zu ergänzen; wobei ein Object von dem zu ergänzenden Inf. abhängen kann. *Μιλτιάδῃ τελευτήσαντι Χερσοννησῖται θύουσιν, ὡς νόμος οἰκιστῇ. Ἡρ. Ἀνὴρ ἀγαθὸς γίγνου, ὥσπερ σε εἰκός, Σπαρτιάτην ὄντα. Θ. Ἁπλᾶς γε λύπας ἐξὸν οὐκ οἴσω διπλᾶς. Εὐ. Ἃ μὴ προσήκει μήτ' ἄκουε μήθ' ὅρα. Γν. Οἱ πρόγονοι ἀμφοτέρων περιγεγόνασιν, ὡς ἑκατέρων προσῆκεν. Λυκ. Πειθώμεθα οἷς ἂν ἡμᾶς καθήκῃ. Ξε. Κρεῖττον σιωπᾶν ἢ λαλεῖν ἃ μὴ πρέπει. Γν. Ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς. Αἰσ. Οἱ πρόγονοι συμβούλοις ἐχρῶντο τοιούτοις οἵοις χρὴ τοὺς εὖ φρονοῦντας. Ἰσ. — Ἀποκρίνασθε ὅ, τι κάλλιστόν τε καὶ ἄριστον ἔχετε. Ξε. Μίαν μὲν ναῦν λαμβάνουσι, τὰς δ' ἄλλας οὐκ ἐδυνήθησαν. Θ. Ταῦτα τὰ ἐρωτικὰ ἴσως κἂν σὺ μυηθείης· τὰ δὲ τέλεα καὶ ἐποπτικὰ οὐκ οἶδ' εἰ οἵός τ' ἂν εἴης. Πλ. — Οἱ Ἀθηναῖοι ἐκκλησίαν ἐποίουν ἐς τὴν Πύκνα καλουμένην, οὗπερ καὶ ἄλλοτε εἰώθεσαν. Θ. Βασιλεὺς τὰ μὲν ἔχει, τὰ δὲ μέλλει. Ἰσ. Ἰφικράτης ὀξέως τὰς ναῦς ἐπληροῦτο καὶ τοὺς τριηράρχους ἠνάγκαζεν. Ξε. Τῇ αὐτῇ ἰδέᾳ ἐκεῖνά τε ἔσχον καὶ τὰ ἐνθάδε νῦν πειρῶνται. Θ. Εἴ τις Ἀθηναίους φαίη πεφυκέναι ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν, ὀρθῶς ἂν εἴποι. Θ. Εἰς ὄψιν ἦλθες ὥνπερ ἐξηύχου πάλαι (sc. εἰς ὄψιν ἐλθεῖν). Αἰσ. — Εἰς μὲν τὰς ἄξουσιν, εἰς δὲ τὰς εὐλαβήσονται. Πλ. Οἱ μισθοφόροι κακὸν μὲν*

οὐδὲν ποιοῦσι τὸν μηδὲν ἀδικοῦντα, τοὺς δὲ κακούργους βουλομένους κωλύουσιν. Ξε. — Δεῖ αὐτοὺς ἄνδρας ἀγαθοὺς εἶναι καὶ τοὺς ἄλλους παρακαλεῖν. Ξε. Χειρίσοφος ἐλάμβανε τὰ ὅπλα καὶ τοῖς ἄλλοις παρήγγελλεν. Ξε. Εἴ τι εὑρίσκοιεν τῶν εἰρημένων μὴ ἀφειμένον ἁρπροῦντο. Ξε. — Ἐξείη ἄν σοι, εἴ ποι βούλοιο, θεωρήσοντι πορεύεσθαι. Ξε. Γίγνεσθε ἄνδρες οἵουσπερ ὑμᾶς οἱ Ἕλληνες ἀξιοῦσιν. Θ. Ὅρα μὴ τούτων μὲν ἐχθρὸς ᾖ, ἐμὸς δὲ προσποιῇ. Δη. Ἐγὼ μὲν κοινωνεῖν ἕτοιμος, οἶμαι δὲ καὶ Λάχητα τόνδε. Πλ. Ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν ἐπῃνεῖτο καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. Θ.

(A. 12. Der Inf. des Präſens kann auch aus einem andern Tempus ergänzt werden. Ἐκέλευσε τοὺς Ἕλληνας, ὥσπερ νόμος αὐτοῖς εἰς μάχην, οὕτω ταχθῆναι. Ξε.)

§. 56. Vom Particip.

I. Das Particip prädicativ.

1. Das Particip, ein verbales Adjectiv, erſcheint als ſolches auch in Anſehung ſeines Gebrauches, mit einigen, zum Theil nur ſcheinbaren Eigenthümlichkeiten, die aus ſeinem Weſen erklärlich ſind.

2. Als Adjectiv kann das Particip attributiv und ſo auch ſubſtantivirt (§ 43, 2 u. 4 mit den A.), prädicativ und appoſitiv eintreten.

3. Als Prädicat findet ſich das Particip ſelbſt in Verbindung mit dem einfachſten Prädicatsverbum εἶναι; eben ſo bei ὑπάρχειν, dies mehr nur Demoſtheniſch.

A. 1. Bei dieſer Ausdrucksweiſe erſcheint eine Handlung als ein beſtehendes Ergebniß. Daher iſt ſie am meiſten beim Part. Pr. und Pf. üblich. Εἰμὶ νῦν μὲν τυράννῳ ἐοικώς, τότε δὲ σαφῶς δοῦλος ἦν. Ξε. Εἰ τοῖς πλέοσιν ἀρέσκοντές ἐσμεν, τοῖσδ' ἂν μόνοις οὐκ ὀρθῶς ἀπαρέσκοιμεν. Θ. Μέτριος πρὸς ἅπαντάς εἰμι, ἐλεήμων, εὖ ποιῶν πολλούς. Δη. — Ἦσαν ἀπιστοῦντές τινες Φιλίππῳ καὶ νοῦν ἔχοντες. Δη. — Ὅταν γνῶσιν αὐτὴν αὑτῆς τις ἔχῃ, γιγνώσκων που αὐτὸς ἑαυτὸν ἔσται. Πλ. — Ἐγὼ τὸ πρᾶγμά εἰμι τοῦτο δεδρακώς. Δη. Οὐδ' ἤσθοντο ὅτε ἦν τετελευτηκὼς Ἀγνίας. Δη. Ὁ παραβὰς ἥντινα δοὺς δίκην ἀξίαν ἔσται δεδωκώς. Δη. Οὔτε συντεταγμένοι οὔτε μάχεσθαι παρεσκευασμένοι κατειληφότες ἔσονται. Ξε. (Ὁ παιδοτρίβης ἂν ἀποκτείνας αὐτὸν εἴη. Ἀντ.) — Τοῦτο ὑπάρχειν ὑμᾶς εἰδότας ἡγοῦμαι. Δη.

A. 2. So ſtehen auch die (adjectiviſch gewordenen) Participia von Impersonalien. Ὁσίως τὰ περὶ τὴν πόλιν διῴκησαν, ὥσπερ προσῆκον ἦν. Ἰσ. Σφόδρ' ἐστὶ ξυμφέρον τὸ μηδὲν ἀσχεῖν ὑγιὲς ἐν τῷ νῦν βίῳ. Ἀρ.

(A. 3. Es findet sich sogar ἔστιν ὤν, γιγνόμενος, wie auch ἔστιν (οὕτως) ἔχων; selten ὤν mit einem andern Particip. Οὐδαμοῦ τά γε μὴ ὄντα ὄνι' ἐστίν. Πλ. Ὑπόμνημα ἦσαν ὄντες οἱ στέφανοι. Δη. Προσήκει τό, τε γεγονὸς εἶναι γεγονὸς καὶ τὸ γιγνόμενον εἶναι γιγνόμενον, ἔτι δὲ τὸ γενησόμενον εἶναι γενησόμενον καὶ τὸ μὴ ὂν μὴ ὂν εἶναι. Πλ.— Ἔστιν οὕτως ἔχον τε καὶ γεγονός. Πλ. Ἔστιν οὐχ οὕτω ταὐτὰ ἔχοντα. Δη.—(Τοῦτό ἐστιν ἐν τοῖς οὖσι νόμοις κυρίοις ὑπάρχον καλὸν καὶ σαφές. Δη.) — Σὺ ὢν δὴ διαφέρων πάντων τῶν ἐμφρόνων οὐχ ἕξεις εἰπεῖν; Πλ.)

A. 4. Am häufigsten steht εἶναι mit einem (activen) Particip das den Artikel bei sich hat. Vgl. § 50, 4 A. 3. 4. Νόμος ὁ βοηθῶν ἕστω τῷ τῆς πόλεως ξυνδέσμῳ μετὰ θεῶν. Πλ. Νοῦς ἔστιν ὁ διακεκοσμηκὼς πανθ' ὅσα κατ' οὐρανόν. Πλ. Ὁ ἐνταῦθα ἑαυτὸν τάξας τῆς πολιτείας εἰμὶ ἐγώ. Δη.

(A. 5. Εἶναι in dieser Verbindung auszulassen, so daß also das Particip für das entsprechende **verbum finitum** stände, ist ein wenigstens der mustergültigen Prosa abzusprechender Gebrauch, wenn das Particip nicht etwa völlig adjectivisch geworden, wie z. B. ξυμφέρον Thuc. 3, 44. [Vgl. indeß Hermann z. Vig. 215. 227 und Göttling zu Arl. Pol. 287.] Nur προσῆκον, πρέπον, ἐξόν, δέον finden sich für προσῆκόν ἐστι ꝛc. Schömann z. Isä. S. 346. 443.)

A. 6. Ἔχειν mit dem Particip eines Präteritums (von einem Activ, Medium oder Deponens) bezeichnet eig. einen durch die Handlung begründeten und bestehenden Besitz: ἡρπακὼς ἔχει = ἥρπακε καὶ ἔχει. [Doch findet sich namentlich ἔχω mit dem Particip des Aorist, besonders bei Dramatikern, auch bloß als nachdrucksvollere Umschreibung.] Ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις. Σο. Κρεῖττον ἐμφανὴς φίλος ἢ πλοῦτος ἀφανής, ὃν σὺ κατορύξας ἔχεις. Γν. Χωρία ᾤκουν ἰσχυρὰ οἱ Ταόχοι, ἐν οἷς καὶ τὰ ἐπιτήδεια πάντα εἶχον ἀναχεκομισμένοι. Ξε. (Ὠνούμενοι βαρβάρους ἀνθρώπους ἔχουσιν. Ξε.) — Εἰς ἀτιμίαν τὴν πόλιν ἡμῶν ἡ τούτων πονηρία καὶ ψευδολογία καταστήσασα ἔχει. Δη. [Ποίῳ ξὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις. Σο. Τὸν λόγον σου θαυμάσας ἔχω. Πλ.]

4. Eben so steht das Particip bei Verben die ein modificirtes Sein ausdrücken, wie τυγχάνειν, λανθάνειν, φαίνεσθαι.

A. 1. Τυγχάνω [poet. auch κυρῶ] ὤν ꝛc. können wir meist übersetzen ich bin eben, gerade zufällig; λανθάνω ὤν ꝛc. ich bin unbemerkt, unversehens; λανθάνω ἐμαυτὸν ποιῶν ꝛc. ich thue mir selbst unbemerkt vgl. § 46, 9. Ueber das Tempus des Particips § 53, 6 A. 8. Μέγιστον τῶν κακῶν τυγχάνει ὂν τὸ ἀδικεῖν. Πλ. Οὐκ ἂν τύχοιεν γενόμενοι βασιλέων ἔκγονοι ἢ δυναστῶν τὰς φύσεις φιλόσοφοι. Πλ. Ἄρχων ἀνὴρ πᾶς, ξύνεσιν ἣν ἔχων τύχῃ. Εὐ. — Λήσειν διὰ τέλους μὴ δόκει πονηρὸς ὤν. Μέ. Τοῦ οἴνου ἀφαιρεῖν χρή, ἕως λάθωμεν ὑδροποῖαι γενόμενοι. Ξε. Ὅστις ἥδεται λέγων ἀεί, λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς. Σο. Οἱ τῆς αὐτῶν διανοίας ἀμελοῦντες λελήθασι σφᾶς αὐτοὺς ἅμα τοῦ τε φρονεῖν ἄμεινον καὶ τοῦ πράττειν βέλτιον τῶν ἄλλων ὀλιγωροῦντες. Ἰσ. Σπουδῇ διαλεγόμενοι ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες. Πλ. — (Λέληθε σε ὅτι ἡ ἰσότης ἡ γεωμετρικὴ μέγα δύναται. Πλ.)

A. 2. In hypothetischen und relativen Sätzen steht *τυγχάνειν* auch ohne Particip, das dann aus dem Verbum des Hauptsatzes zu ergänzen ist. *Ξένοι, ἐὰν (οὕτω) τύχωσι, ἔστιν ὅτε καὶ ἀπέκτειναν ἀλλήλους. Ξε. Ὁ περὶ πάντ' ἄδικος τάχ' ἄν, εἰ τύχοι, καὶ τοῦτον ἠδίκει. Δη. Ὁ πάνδημος Ἔρως ἐξεργάζεται ὅ, τι ἂν τύχῃ. Πλ.*

A. 3. *Τυγχάνειν* [wie *κυρεῖν*] findet sich auch ohne Particip mit einem bloßen Substantiv oder Adjectiv als Prädicat. *Πολλοῖς ἀπόκρισις ἡ σιωπὴ τυγχάνει. Γν. Εἴ τις εὔνους τυγχάνει, ἴτω μεθ' ἡμῶν. Ἀρ. [Καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ. Γν.]*

(A. 4. So findet sich auch *συμβαίνειν*; selten mit zugefügtem Particip. *Συμβαίνει μέγιστον κακὸν ἡ ἀδικία. Πλ. — Ὅταν συνιέναι λέγῃ, ταὐτὸν παντάπασι τῷ ἐπίστασθαι συμβαίνει λεγόμενον. Πλ.*)

A. 5. *Φαίνεσθαι* mit dem Particip gibt das Urtheil als ein reales, als ein durch die Erscheinung Jedem so (objectiv) sich herausstellendes: es zeigt sich, es ist offenbar daß; *φαίνεσθαι* mit dem Infinitiv gibt es als ein solches das ein Subject sich aus der Erscheinung entnimmt, wie *δοκεῖν* mit dem Infinitiv ein rein subjectives Urtheil ausdrückt. vgl. § 55, 4 A. 1. *Μάλιστ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης. Ἰσ. — Φαίνεταί σοι φιλοσόφου ἀνδρὸς εἶναι ἐσπουδακέναι περὶ τὰς ἡδονάς; Πλ.*

A. 6. Oefter als *τυγχάνειν* (A. 3) findet sich *φαίνεσθαι* ohne Particip. *Ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος φανεῖται. Πλ. Οἱ φύσει λογισικοὶ εἰς πάντα τὰ μαθήματα, ὡς ἔπος εἰπεῖν, ὀξεῖς φαίνονται. Πλ.*

A. 7. Wie *φαίνεσθαι* werden auch *φανερός* und *δῆλός εἰμι* (und seine Composita) mit dem Particip verbunden: es ist offenbar daß ich —. vgl. § 55, 3 A. 10. (Ueber *δῆλός εἰμι ὡς* — Kr. zu Xen. An. 1, 5, 9.) *Ὅπου μάλιστα πλεονεκτῶν ὁ κράτιστος φαίνεται, ἐνταῦθα προθυμότατα φανεροί εἰσιν ἀγωνιζόμενοι πάντες. Ξε. Ἄνδρα λέγεις ὃς ἂν τοὺς φίλους τοὺς πρόσθεν εὖ ποιῶν φαίνηται δῆλον εἶναι καὶ τοὺς ὕστερον εὖ ποιήσοντα. Ξε.*

A. 8. Nach *φανερός* und *δῆλός εἰμι* kann auch *ὅτι* folgen. *Ἆρ' ἂν καλὸν ποιήσαιμεν τῷ εὐθὺς φανεροὶ εἶναι ὅτι καὶ τοὺς εὖ ποιοῦντες πειρώμεθα νικᾶν εὖ ποιοῦντες; Ξε. Δῆλός ἐστιν ὅτι ἃ ᾤετο εἰδέναι οὐκ οἶδεν. Ξε.*

A. 9. Dreifache Construction hat *ἐοικέναι* (scheinen, in sofern von Objecten ein Bild, *εἰκών*, sich in einem Subject reflectirt) mit dem Nominativ des Particips den objectiven Reflex der Wirklichkeit bezeichnend: die Anschauung geben als ob —; mit dem Infinitiv eine aus dem Reflex von Erscheinungen gebildete Ansicht ausdrückend: nach der Betrachtung scheint es daß; mit dem Dativ des Particips eig. ähnlich sein bedeutend. *Ἔοικατε τυραννίσι μᾶλλον ἢ πολιτείαις ἡδόμενοι. Ξε. Παντάπασιν ἔοικασιν οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι. Ξε. Τοῖς μεριμνῶσίν τε καὶ λυπουμένοις ἅπασα νὺξ ἔοικε φαίνεσθαι μακρά. Γν. Ἔοικας τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι. Ξε.*

5. Aehnlich erscheint das Particip bei Verben die gewisse Momente der Handlung bezeichnen, wie anfangen, endigen, fortfahren.

A. 1. Bei *ἄρχεσθαι* steht das Particip, wenn eine andere Phase derselben Handlung (Mitte oder Ende), der Infinitiv, wenn eine andere Handlung als Gegensatz vorschwebt. Die Stellen für *ἄρχειν* mit dem Particip sind z. Th. durch Erklärung zu beseitigen (wie Soph. El. 522, aber wohl nicht Il. β, 378; sicher ist auch *ὑπάρχειν* mit dem Particip Her. 9, 78, Xen. An. 2, 3, 23 u. 5, 5, 9 wie *κατάρχειν* Cyr. 1, 4, 4). *Ἆρ' οὐ μουσικῇ ἀρξόμεθα πρότερον παιδεύοντες ἢ γυμναστικῇ; Πλ. Ἤδη ἔπη φθέγγομαι, καὶ ταῦτα ψέγων· ἐὰν δ' ἐπαινεῖν τὸν ἕτερον ἄρξωμαι, τί με οἴει ποιήσειν; Πλ.*

A. 2. Mit dem Particip stehen ferner *παύω* (mit dem Accusativ), *παύομαι, λήγω, ἐπέχω. Ἀγαμέμνων τοὺς βαρβάρους ἔπαυσεν ὑβρίζοντας. Ἰσ. Τοὺς πένητας ἔπαυσα ἀδικουμένους. Δη. Ἐγὼ μισῶν γυναῖκας οὐδέποτε παύσομαι. Ἀρ.* [vgl. 6 A. 1.] *Σῶμα ἀεὶ ἀπολλύμενον οὐδὲν παύεται. Πλ. Θεὸν οὐ λήξω ποτὲ προστάτην ἴσχων. Σο. Ἐπίσχες ὀργιζόμενος. Μέ.*

A. 3. Die Begriffe der Dauer, zu denen auch *οὐ διαλείπω* gehört, mit einem Particip übersetzen wir durch ein Adverbium: fortdauernd, fortwährend; das Particip durch das verbum finitum. *Ἀγαθῶν φύσει ἀεί ποτε τῇ πόλει συνεραστὴς ὢν διατελῶ. Ξε. Οὐδὲν ἄδικον διαγεγένημαι ποιῶν. Ξε. Ὁ ἥλιος τὸν πάντα χρόνον πάντων λαμπρότερος ὢν διαμένει. Ξε. Ἐπιμελόμενος ὧν δεῖ διάξω. Ξε. Οὐ δοκῶ σοι ἀπολογεῖσθαι μελετῶν διαβεβιωκέναι; Ξε. Οὐ πώποτε διέλιπον καὶ ζητῶν καὶ μανθάνων ὅ, τι ἐδυνάμην ἀγαθόν. Ξε. Οὐδένα διαλέλοιπα χρόνον ὑπὸ πονηρῶν διαβαλλόμενος. Ἰσ. (Ἡ πόλις τοὺς τελευτήσαντας τιμῶσα οὐδέποτε ἐκλείπει. Πλ. Ἔφη μάλισια σφᾶς μεσοῦν δειπνοῦντας. Πλ.)*

A. 4. Unter diesen findet sich ohne *ὤν* am häufigsten *διατελῶ. Τοῦ δικαίου ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου. Μέ. Εὐδαιμονέσταται πόλεις λέγονται αἳ ἂν πλεῖστον χρόνον ἐν εἰρήνῃ διατελῶσιν. Ξε. Ἐὰν ἐμὲ φίλον ποιήσῃς, τῶν χαλεπῶν ἄπειρος διαβιώσῃ. Ξε. Οἵπερ τοῖς συμμάχοις πιστοὶ διαμένουσιν ἐν ταῖς συμφοραῖς, οὗτοι καὶ ὑμῖν αἰσχύνοιντ' ἂν μὴ ἀποδιδόντες χάριτας. Ξε. (Οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν. Εὐ.)*

A. 5. *Φθάνω* komme zuvor wird gleichfalls gew. mit dem Particip verbunden (vgl. § 53, 6 A. 8); mit dem Infinitiv selten bei Attikern, öfter bei Spätern. [Vgl. Ar. Wol., 1384 u. Wyttenbach z. Julian S. 181.] *Πλείστου δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. Ξε. Πορευόμενον αὐτὸν φθάνει ἡμέρα γενομένη. Ξε.*

(A. 6. Eigenthümlich ist die Formel *οὐκ ἂν φθάνοις*, z. B. *περαίνων* Plat. Phäd. 100), *λέγων* (Symp. 185) sage unverzüglich, wohl ursprünglich Frage: willst du nicht eher (als irgend etwas sonst thun) sagen? dann aber durch den Gebrauch als solche verwischt, so sehr daß man des Ursprungs uneingedenk nach der äußerlichen Analogie dieser Formel auch sagte *οὐκ ἂν φθάνοιμι, οὐκ ἂν φθάνοι* in dem Sinne:

ich werde, er wird unausbleiblich, also synonym mit *φθάνομι ἄν, φθάνοι ἄν. Εἰ μὴ τιμωρήσεσθε τούτους, οὐκ ἄν φθάνοι τὸ πλῆθος τούτοις τοῖς θηρίοις δουλεῦον. Δη.* So Buttmann § 150 S. 451 f. Nach Hermann z. Vig. 204 heißt *φθάνειν* eig. aufhören, ablassen und *οὐ φθάνω ποιῶν* entweder fortwährend thun, wie Eur. Or. 936: *οὐ φθάνοιτ' ἔτ' ἂν θνήσκοντες* non cessabunt caedes, Ermordungen werden fortwährend erfolgen; oder eifrig beflissen thun, wie Plat. Symp. 214: *οὐκ ἄν φθάνοιμι (ταλη θῆ λέγων)*. Daher sei es dem Gedanken nach ziemlich gleich ob man z. B. *οὐκ ἂν φθάνοις ποιῶν* fragend oder affirmativ sage, ob nach Eur. Or. 1551: *οὐκετ' ἂν φθάνοιτε κλῆθρα συμπεραίνοντες μοχλοῖς*; non curabitis ut occlusae sint fores? oder ohne Frage: *οὐκέτ' ἂν φθάνοιτε* — non omittetis fores occludere. So zeige sich auch wie mit und ohne Negation der Sinn derselbe sei: *οὐ φθάνοιτ' ἄν* — non omittetis occludere fores, *φθάνοιτ' ἄν* — omittite occlusas.)

A. 7. Auf *οὐ φθάνω* folgt auch *καί*: ich habe nicht sobald als —. *Οἱ Λακεδαιμόνιοι οὐκ ἔφθασαν τὴν ἀρχὴν κατασχόντες καὶ τοῖς Θηβαίοις εὐθὺς ἐπεβούλευσαν. Ἰσ.*

A. 8. Durch ein Adverbium (fort, weg) übersetzbar ist meist auch *οἴχεσθαι. Τὸ ἀθάνατον σῶν καὶ ἀδιάφθορον οἴχεται ἀπιόν. Ιλ. Δόξας ἀνὴρ ἄριστος οἴχεται θανών. Εὐ.*

II. Particip bei Verben der Kraftäußerung und Empfindung, des Verfahrens und Zustandes.

6. Gleichfalls als Prädicat steht das Particip bei Verben die bezeichnen mit welcher Kraft oder welcher Empfindung die durch das Particip ausgedrückte Handlung erfolge.

A. 1. Von der ersten Art sind die Verba des Ertragens, Ermüdens u. ä. *Ἥδιον οὐδὲν οὐδὲ μουσικώτερόν ἐστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν. Φιλ. Οὗτος ἀνὴρ οὐχ ὑπομένει ὠφελούμενος καὶ κολαζόμενος. Πλ. Ἀνέχου πάσχων· δρῶν γὰρ ἔχαιρες. Εὐ. Ὅστις ἐπιθυμῶν ἀνέχετ' αἰσχροῦ πράγματος, οὗτος ποιήσει τοῦτ', ἐὰν καιρὸν λάβῃ. Γν. Ἀνὴρ δίκαιός ἐστιν ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων. Γν. (Ἐν θήρᾳ πολλάκις ἄσιτοι καρτεροῦμεν. Ξε.) Γυναῖκας μισῶν οὔποτ' ἐμπλησθήσομαι. Εὐ. Μὴ κάμῃς φίλον ἄνδρα εὐεργετῶν. Πλ. Μανθάνων μὴ κάμνε. Στ. Τοὺς θεοὺς οὐκ ἀπαγορεύομεν θεραπεύοντες. Ἰσ. Ἀγησίλαος οὐκ ἀπεῖπε μεγάλων καὶ καλῶν ἐφιέμενος. Ξε. Οὐ μὴ ἀνῇς ἐρωτῶν. Πλ. (Μὴ φιλοτιμοῦ ἐλέγχων. Πλ.)*

A. 2. Auf ein Object bezogen haben *περιορᾶν* den Accusativ, das Passiv den Nominativ, *ἀνέχεσθαι* gew. den Genitiv. *Καλῶς δημαγωγήσεις, ἐὰν μήθ' ὑβρίζειν τὸν ὄχλον ἐᾷς μήθ' ὑβριζόμενον περιορᾷς. Ἰσ. (Φίλον δι' ὀργῆς ἐν κακοῖς μὴ περιίδῃς. Γν.) Οὐ περιοπτέα ἐστὶν ἡ Ἑλλὰς ἀπολλυμένη. Ἡρ. — Πῶς πατὴρ τέκνου θανόντος ῥᾳδίως ἀνέξεται; Εὐ. (Οὐκ ἀνέξεται τίκτοντας ἄλλους, οὐκ ἔχουσ' αὐτὴ τέκνα. Εὐ.)*

(A. 3. Mit dem Infinitiv (des Ao.) steht *περιορᾶν* [selten *ἀνέχομαι*

vgl. Herm. Eur. Phön. 549], wenn nur die Möglichkeit des Eintretens der Handlung zu denken ist. *Τούσδε δύναμιν προσλαβεῖν περιόψεσθε ἢν οὐ δίκαιον.* Θ.)

A. 4. Von Verben der Empfindung gehören besonders hieher die welche Freude und Aerger bezeichnen. *Ὁ θεός, ὡς ἔοικε, πολλάκις χαίρει τοὺς μὲν μικροὺς μεγάλους ποιῶν, τοὺς δὲ μεγάλους μικρούς.* Ξε. *Ὅταν ἁμαρτάνῃς τι, χαῖρ' ἡττώμενος.* Γν. *Πᾶς ἀνήρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.* Εὐ. *Ὅς γε πίνων μὴ γέγηθε μαίνεται.* Εὐ. (*Ἆρ' οὐκ ἀγαπήσεις τούτων τυγχάνων.* Πλ.) — *Οὐκ ἂν ἀχθοίμην μανθάνων.* Πλ. *Ἀγανακτήσει ἀποθνήσκων.* Πλ. *Ὅστις ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι τοῦτον καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι.* Ξε. *Ἀδικούμενοι, ὡς ἔοικεν, οἱ ἄνθρωποι μᾶλλον ὀργίζονται ἢ βιαζόμενοι.* Θ. *Οὐκ αἰσχύνομαι μανθάνων.* Πλ. *Μετεμέλοντο πρότερον οὐκ ἀναστάντες.* Θ.

A. 5. Mit dem Infinitiv steht *αἰσχύνεσθαι*, wenn es Scheu vor der zu begehenden Handlung bezeichnet. vgl. § 55, 3 A. 18. *Τοῦτο μὲν οὐκ αἰσχύνομαι λέγων· τὸ δὲ ἐὰν μένητε παρ' ἐμοί, ἀποδώσω, εὖ ἴστε ὅτι αἰσχυνοίμην ἂν εἰπεῖν.* Ξε.

7. Auch bei mehreren Verben die sich auf sinnliche oder geistige Wahrnehmung beziehen, steht das Particip als Prädicat: im Accusativ, wenn es Activa, im Nominativ, wenn es Passiva sind.

A. 1. Die üblichsten der hieher gehörigen Verba zeigen folgende Beispiele. *Ἄνθρωποι ἐπ' οὐδένας μᾶλλον συνίστανται ἢ ἐπὶ τούτους οὓς ἂν αἴσθωνται ἄρχειν αὐτῶν ἐπιχειροῦντας.* Ξε. *Ὁρῶ λύπας ἔχοντας μείζονας τοὺς μείζονας.* Φιλ. *Ὁ θεὸς τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν.* Ξε. [*Οὐ φρονοῦντά σ' εὖ βλέπω.* Σο.] *Θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα;* Πλ. *Ἐπύθετο κατὰ πλοῦν ἤδη ὢν τὸ Πλημμύριον ὑπὸ τῶν Συρακοσίων ἁλωκός.* Θ. *Χερρόνησον κατέμαθε πόλεις ἔνδεκα ἢ δώδεκα ἔχουσαν.* Ξε. *Τὰ τοῦ πολέμου τοιαῦτα ἐγίγνωσκον ὄντα ὡς μὴ ὑστερίζειν δέον τὸν ἄρχοντα.* Ξε. *Γνωσθησόμεθα ξυνελθόντες μὲν ἀμύνεσθαι δὲ οὐ τολμῶντες.* Θ. (*Κατενόησαν οὐ πολλοὺς τοὺς Θηβαίους ὄντας.* Θ.) *Οὐδένα οἶδα μισοῦντα τοὺς ἐπαινοῦντας.* Ξε. (*Εὐήθης ἐστὶν ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα.* Δη.) *Ἠπίστατο τοὺς Ἕλληνας οὐκ εἰθισμένους ὑπομένειν τὰς μοναρχίας.* Ἰρ. *Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί.* Μέ. *Μεμνήμεθ' ἐς κίνδυνον ἐλθόντες μέγαν.* Εὐ.

A. 2. Eben so finden sich die Verba die ein Zeigen, Finden oder Betreffen ausdrücken. *Οἶδα Σωκράτην δεικνύντα τοῖς ξυνοῦσιν ἑαυτὸν καλὸν κἀγαθὸν ὄντα.* Ξε. *Ἀνανδρίας ἕνεκα δειχθήσεται τοῦτο πεποιηκώς.* Δη. *Ἀποφαίνουσι τοὺς φεύγοντας πάλαι ποιηροὺς ὄντας.* Δυ. *Τοῦτο τὸ γράμμα δηλοῖ ψευδῆ τὴν διαθήκην οὖσαν.* Δη. *Δηλοῦται παρὰ τὴν αὐτοῦ ἁμαρτίαν ἀτυχήμασι περιπεσών.* Ἀντ. *Ἀδικοῦντα Φίλιππον ἐξήλεγξα.* Δη. *Πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται.* Δη.—*Εὑρήσομεν καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγεμόνα λόγον ὄντα καὶ μάλιστα χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας.* Ἰσ. *Ἀφ' ὧν μὲν εἶ*

φανεῖ δίκαιος, δρῶν δ' ἐφευρίσκει κακά. Σο. Κλέπτων ὅταν τις ἐμφανῶς ἐφευρεθῇ, σιγᾶν ἀνάγκη. Σο. Ἐάν με λάβῃς μὴ ταῦτα πράττοντα ἅπερ ὡμολόγησα, πάνυ με ἡγοῦ βλάκα εἶναι. Πλ. Τοὺς νόμους κακουργῶν εἵληπται. Δη. Παρὰ τοὺς νόμους πράττων τις φωρᾶται. Δη. Οὐδεὶς πώποτε ὁμολογῶν ἀδικεῖν ἑάλω. Δη.

(A. 3. Selten finden ſich ſo die Verba die eine Vorſtellung oder eine Aeußerung bezeichnen, öfter jedoch ἀγγέλλειν; über νομίζειν Kr. zu Xen. An. 6, 4, 24. Πᾶσι ταῦτα δεδογμένα ἡμῖν νόμιζε. Πλ. Πότερόν σε φῶμεν νῦν σπουδάζοντα ἢ παίζοντα. Πλ. Τίθημί σε ὁμολογοῦντα. Πλ. Τισσαφέρνης Κῦρον ἐπιστρατεύοντα πρῶτος ἤγγειλεν. Ξε. — Ὁμολογούμεθα μετ' οἴνου ἐλθόντες. Αν. Κῦρος φύσιν τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται. Ξε. Ὧν ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες περιόντας. Ξε.)

(A. 4. Auch bei dieſen Verben (A. 1—3) fehlt zuweilen ὤν. Μένων ὅσους ἂν αἰσθάνοιτο ἀδίκους ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο. Ξε. Ἐν εὐδίᾳ ὁρῶ ὑμᾶς. Ξε. Ἡδύ γε δικαίους ἄνδρας εὐτυχεῖς ὁρᾶν. Μέ. Ὀφθήσει κακός. Σο. Τοῖς ἐναντίοις ἀσχολίας πυνθάνονται. Ξε. Ἐν Χερσονήσῳ ἐπύθεσθε Φίλιππον. Δη. Πονηροῦ δεσπότου οἰκέτας οὐ δοκῶ χρηστοὺς καταμεμαθηκέναι. Ξε. — Ὁ νομοθέτης ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ. Αν. Διαθήκας ἤδη πολλοὶ ψευδεῖς ἀπέφηναν. Ἰσαῖ. Δέδεικται ψυχὴ τῶν πάντων πρεσβυτάτη, γενομένη τε ἀρχὴ τῆς κινήσεως. Πη. Φράσω, ὡς σε δηλώσω κακόν. Σο. — Πολλοὺς τοὺς ἀσελγεῖς εὑρήσετε καὶ τοὺς ὑβρίζοντας ἐπὶ τῇ τοῦ φιλοιμεῖσθαι προφάσει. Δη. Εἶπου ἥττους τῶν πολεμίων ληφθησόμεθα, ἐν ἀνδραπόδων χώρᾳ ἐσόμεθα. Ξε. Οὐ φονεὺς ἁλώσομαι. Σο. Τοῖς σοῖς φίλοισιν εὕρισκου φίλος. Εὐ. Ἅπαντα καθ' ἡμῶν εὕρηται. Δη. Πάντ' ἐφεύρημαι κακός. Συ. — Οἱ πρέσβεις τὰ ἐν τῇ Σικελίᾳ βελτίω ἤγγελλον. Θ. Ἤγγέλθης μοι γενναῖος. Εὐ.)

A. 5. Mit dem Nominativ des Particips ſtehen auch manche Activa wie Media und Deponentia dieſer Verba, beſonders der zu A. 1 gehörigen, in ſofern vom Subject ein Prädicat ausgeſagt wird. Der in dieſem Falle auch zuweilen vorkommende Ac. iſt nach § 55, 2 A. 3 zu erklären. Αἰσθάνομαι τὸ μὲν ὕδωρ ἡμᾶς ἐπιλεῖπον, αὐτὸς δ' ἐμπεπτωκὼς εἰς κατηγορίας. Ἰσ. Ὁρᾶθ' ὅσοι νομίζετ' οὐκ εἶναι θεὸν δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως. Εὐ. (Ὁρῶμεν ἡμᾶς ἀπόρους ὄντας. Ξε.) Μὴ ὅτι θεός, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοί, ἐπειδὰν γνῶσιν ἀπιστούμενοι, οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας. Ξε. Μανθάνετε κακὰ σπεύδοντες. Θ. Ἐνενόησα καταγέλαστος ὤν. Πλ. Ὁ ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. Θ. Ἐν πολυπρόποις ξυμφοραῖς ἐπίστανται τραφέντες. Θ. Τἄλλ' ὄντες ἴστε μηδενὸς βελτίονες. Εὐ. Οὐχ ἃ κρείττων ἤδει ὤν, ταῦτα τοὺς συνόντας προὐκαλεῖτο, ἀλλ' ἅπερ εὖ ἤδει ἑαυτὸν ἥσσονα ὄντα, ταῦτα ἐξῆρχεν. Ξε. Ἐγὼ δείξω οὐ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας ἢ αὐτὸς ἔργῳ ἐπεξελθεῖν. Θ. (Δεῖξον οὐ πεποιηκότα τοῦτο σαυτόν. Δη.) Ἐνδείκνυσο περὶ τὰ μέγιστα σπουδάζων. Ἰσ. Ἀλκιβιάδης ἐδήλωσε τῶν νόμων καταφρονῶν. Ἀνδ. Οἱ Ἀθηναῖοι φανερὸν ἐποίησαν οὐκ ἰδίᾳ πολεμοῦντες, ἀλλ' ὑπὲρ κοινῆς ἐλευθερίας προκινδυνεύοντες. Λυκ. [Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν. Μέ.— Νικώμενος λόγοισιν οὐκ ἀναίνομαι. Αἰσ. Οὐκ εὐτυχῶν ἀρνήσομαι. Εὐ.]

A. 6. Dreifache Construction hat *σύνοιδα* die von A. 1, die von A. 5, oder, wenn es einen Da. bei sich hat, das Particip diesem angefügt. *Σύνιστε πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους. Ἰσ. Πρὸς τοὺς πολεμίους μεγαλοφρονέστεροι γίγνονται οἳ ἂν ξυνειδῶσιν ἑαυτοῖς εὖ ἠσκηκότες. Ξε. Ἥδιστον αὐτὸν ἑαυτῷ συνειδέναι μηδὲν ἐξημαρτηκότι. Ἀντ.*

A. 7. Bei den (zu A. 1 gehörigen) Verben die einen Genitiv regieren steht das Particip, wenn es Prädicat (des gesetzten oder zu ergänzenden) Objects ist, im Genitiv. *Οὐκ ἠσθάνοντο προσιόντων τῶν πολεμίων. Ξε. Ἐγὼ ἡδέως ἀκούω Σωκράτους διαλεγομένου. Πλ. (Οἱ Πελοποννήσιοι ἐπύθοντο τῆς Πύλου κατειλημμένης. Θ.) Μέμνημαι τοῦτο σοῦ λέγοντος. Ξε. Εἰ γιγνώσκεις ἐμοῦ φθεγγομένου, δήλωμά σοι γίγνεται παρ' ἐμοῦ. Πλ.*

A. 8. Fast bei allen hieher (zu N. 7) gehörigen Verben findet sich auch der Infinitiv, der aber als Ausdruck einer bloßen Idee erscheint, während das Particip eine Realität prädicativ vorstellt. Vgl. § 65, 1 A. 4.

A. 9. *Εἰδέναι, ἐπίστασθαι, γιγνώσκειν, μανθάνειν* mit dem Infinitiv beziehen sich auf die Fähigkeit des Hervorbringens oder die Möglichkeit des Eintretens der Handlung. Nur den Infinitiv gestattet *γιγνώσκειν* in der Bedeutung urtheilen, verstehen, beschließen. *Λύπην οἶδεν εὔνους ἰᾶσθαι φίλος. Μέ. Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος. Μέ. Ὦ μακάρι' ἀτυχεῖν θνητὸς ὢν ἐπίστασο. Δίφ.— Ἄνθρωπος ὢν γίγνωσκε τῆς ὀργῆς κρατεῖν. Μέ. Γίγνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν. Αἰσ. Τὰ ἄλλα πάντα ζῶα καὶ ἀγνωμονέστερα καὶ ἀχαρισιότερα ἀνθρώπων ἐγίγνωσκεν εἶναι. Ξε. Ὑμῖν ἐγνωκέναι τὰ δίκαια ποιεῖν ὑπάρχει. Δη. — Ἄρχεσθαι μαθὼν ἄρχειν ἐπιστήσῃ. Σόλων. (Ἐν τῷ φρονεῖν μηδὲν ἥδιστος βίος, ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς. Σο.)*

A. 10. *Μεμνῆσθαι* mit dem Infinitiv heißt auf etwas bedacht sein, sich angelegen sein lassen. *Χαλεπὸν εὑρεῖν τὸν μεμνησόμενον καταχωρίζειν ἕκαστα. Ξε. Μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν. Μέ. Νῆφε καὶ μέμνησ' ἀπιστεῖν. Ἐπιχ.*

A. 11. Der Infinitiv steht auch bei *ἀγγέλλειν, αἰσθάνεσθαι, πυνθάνεσθαι* und besonders häufig bei *ἀκούειν*, wenn die gemeldete oder percipirte Sache nicht als real vorgestelltes Prädicat, sondern als bloße Vorstellung des Subjects zu denken ist (mehr Ungewißheit). *Ἠγγέλλετο βασιλεὺς διανοεῖσθαι ὡς ἐπιχειρήσων ἐπὶ τοὺς Ἕλληνας. Πλ. Ἥισθετο αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι. Θ. Οἱ Λακεδαιμόνιοι ἐπυνθάνοντο ἐς τοὺς Εἵλωτάς τι πράσσειν Παυσανίαν. Θ. Ἀκούων τινὰς εἶναι λέγειν τε καὶ πράττειν ἱκανοὺς ἐζήτησα τούτοις ἐντυχεῖν. Ξε.*

A. 12. *Ὅτι* daß oder seltener *ὡς* wie, daß folgt auf die hieher gehörigen Verba (auch mit der Anticipation § 61, 6), wenn der Gedanke als Thatsache vorgelegt wird, am gewöhnlichsten bei den Verben der Aeußerung, fast regelmäßig auch *ὅτι* bei *ἐνθυμεῖσθαι*. Vgl. § 55, 4 u. 65, 1, A. 4. *Ὁρῶμεν ὅτι οἱ σώφρονες οὐδὲν δήπου ἄδικον οὐδὲ ἀνόσιον ποιοῦσιν. Ξε. Ἐπύθοντο ὅτι Μίνδαρος ἐν Κυζίκῳ εἴη. Ξε. Ὅτι δεῖ γράμματα ἐπίστασθαι ἠκηκόειν. Ξε. Μανθάνω ὅτι τὸ ὑπὸ ταῖς γεωμετρίαις λέγεις. Πλ. Ἱκανῶς ἔγνωκεν ὅτι ἄριστον δικαιοσύνη. Πλ. Τίς οὐκ οἶδεν ὅτι οἱ νικῶντες τά τε ἑαυτῶν σώζουσι καὶ τὰ τῶν ἡττόνων προσλαμβάνουσιν. Ξε. Τιμόθεος ἠπίστατο τοὺς*

δεδιότας ὅτι μισουσι δι' οὓς ἂν τοῦτο πεπονθότες τυγχάνωσι. τήν τε πόλιν διὰ τὴν φιλίαν τὴν τῶν ἄλλων εὐδαιμονεστάτην καὶ μεγίστην γενομένην. Ἰσ. Ἐνθυμοῦ ὅτι τοῖς σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. Ἰσ. Μέμνησ' ὅτι ἀνὴρ γεγένησαι δι' ἐμέ. Ἀρ.— Σωκράτης ἐπεδείκνυεν ὅτι τὸ ἄφρον ἄτιμόν ἐστιν. Ξε. Δηλοῖ ὅτι ἕτερον λέγει τῶν ἄλλων τὸ μὴ ὄν. Πλ. — Ὁρῶ ὡς χαλεπὸν τὰ βέλτιστα λέγειν ἐστίν. Δη. Περὶ ἡδονῆς ἀκηκόαμεν ὡς ἀεὶ γένεσίς ἐστιν. Πλ. Ἴσθι ὡς ταῦτα μαθὼν κλέος ἕξεις. Ἀρ. Γίγνωσκε ὡς πᾶσιν ἡμῖν ἀποθανεῖν ὀφείλεται. Εὐ. Μέμνησο νέος ὢν ὡς γέρων ἔσει ποτέ. Μέ.

A. 13. Nach den Verben der Erinnerung folgt ὅτε wenn es die Thatsache an eine gewisse Zeit anknüpft: ich erinnere mich der Zeit wo. Μέμνησαι ὅτε οὐδ' ἀναγρύζειν μοι ἐξουσίαν ἐποίησας. Ξε. (Οἶδ' ἡνίκ' Αἴας εἶλκε Κασάνδραν βίᾳ. Εὐ.) Vgl. § 54, 16 A. 2 und Herm. zu Eu. Hek. 108.

8. Bei Verben die ein Urtheil über ein Verfahren oder einen Zustand aussprechen bezeichnet das Particip die Handlung auf welche dieses Urtheil sich bezieht: darin daß, damit daß, dadurch daß. Dem Aorist gesellt sich dabei auch das Particip im Aorist ohne den Begriff des Vorzeitigen. Vgl. § 53, 6 A. 8.

A. 1. So bei εὖ, καλῶς ποιεῖν, ἀδικεῖν, χαρίζεσθαι, εὐτυχεῖν, νικᾶν, ἡττᾶσθαι u. ä. Θρασύβουλος καλῶς ἐποίησεν οὕτω τελευτήσας τὸν βίον. Λυ. Οὐκ ἔστιν ὅ, τι ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους μισήσας. Πλ. Ἀδικεῖτε πολέμου ἄρχοντες καὶ σπονδὰς λύοντες. Θ. Κεχάρισαί γέ μοι ὦ γλυκύτατον τὴν γραῦν ἀπαλλάξασα μου. Ἀρ. Ξενοφῶντα ὠνήσατε οὐχὶ ἑλόμενοι. Ξε. Μακάριος ὅστις εὐτυχεῖ γάμον λαβών ἐσθλῆς γυναικός, εὐτυχεῖ δ' ὅ μὴ λαβών. Εὐ. Πάντας πειρῶ νικᾶν εὖ ποιῶν· ἐὰν γὰρ τοὺς φίλους κρατῇς εὖ ποιῶν, οὐ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. Ξε. Ἐάν τις ἡμᾶς εὖ ποιῶν ὑπάρχῃ, τούτου εἷς γε δύναμιν οὐχ ἡττησόμεθα εὖ ποιοῦντες. Ξε. Πολεμοῦντες οὐ κερδαίνομεν. Ἀρ. Τὰ ἄλλα μ' ἤρεσας λέγων. Ἀρ. Ἀρχέσω ἐγὼ λέγων. Εὐ. Οὕτοι καταπροίξει μὰ τὸν Ἀπόλλω τοῦτο δρῶν. Ἀρ.

A. 2. Das Particip εὖ, καλῶς ποιῶν entspricht meist unserm und daran hat er wohl gethan, und das ist recht schön von ihm, oft mit sarkastischer Färbung. Aehnlich steht (vorangestellt) οὐ (οὔτι) χαίρων nicht ungestraft, übel zugerichtet. Εὖ ποιῶν ἀπόλωλ' ἐκεῖνος. Ἀρ. Καλῶς καὶ τὰ δίκαια ποιῶν ὁ δῆμος ὠργίσθη. Δη. Τοῦτο ἐπ' ἐκείνου, εὖ ποιοῦν, οὐ συνέβη. Δη. — Οὔτι χαίρων ταῦτα τολμήσει λέγειν. Ἀρ.

A. 2. Das Particip εὖ, καλῶς ποιῶν entspricht meist unserm und daran hat er wohl gethan, und das ist recht schön von ihm, oft mit sarkastischer Färbung. Aehnlich steht (vorangestellt) οὐ (οὔτι) χαίρων nicht ungestraft, übel zugerichtet. Εὖ ποιῶν ἀπόλωλ' ἐκεῖνος. Ἀρ. Καλῶς καὶ τὰ δίκαια ποιῶν ὁ δῆμος ὠργίσθη. Δη. Τοῦτο ἐπ' ἐκείνου, εὖ ποιοῦν, οὐ συνέβη. Δη. — Οὔτι χαίρων ταῦτα τολμήσει λέγειν. Ἀρ.

[A. 3. Aehnlich ist τί παθών was ficht dich an daß —. Von Mehreren verworfen wird das synonyme τί μαθών was fällt dir ein daß —. [Herm. zu Vig. 194.] Ἤρετο τί δὴ παθὼν οὕτω θαυμάζοι τὴν τέχνην. Αἰλ. — Σὺ δὲ δὴ τί μαθὼν οὐκ ἀποθνήσκεις; Ἀρ. Τί μαθόντες ἐμαρτυρεῖτε ὑμεῖς; Δη.]

A. 4. In λῆρεῖς ἔχων, wie in synonymen Formeln, wird das Gehaben, das Charakteristische eines Schwätzers bezeichnet. Οὐ μὴ φλυαρήσεις ἔχων. Ἀρ. Τί διατρίβεις ἔχων. Ἀρ.)

A. 5. *Ἀρχόμενος* iſt oft unſer im Anfange, *τελευτῶν* zuletzt, *διαλιπών* nach einer Zwiſchenzeit [*φέρων* haſtig, *ἀνύσας* flugs]. *Ἐγώ, ἅπερ καὶ ἀρχόμενος εἶπον, ἀξιῶ ξυγχωρεῖν. Θ. Ἦν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος πείθειν δύναται. Ξε. Ὁ ἐν καιρῷ μόχθος πολλὴν εὐδαιμονίαν τίκτει βροτοῖσι τελευτῶν. Εὐ. Οὐ πολὺ διαλιπὼν ἐτελεύτησεν. Θ. Ἀντὶ φιλοτίμων ἀνδρῶν φιλοχρήματοι τελευτῶντες ἐγένοντο. Πλ.* [*Ὑπέβαλεν ἑαυτὸν φέρων τοῖς Θηβαίοις. Αἰ. Ἄνοιγ', ἄνοιγ' ἀνύσας τὸ φροντιστήριον. Ἀρ.*]

A. 6. *Ἀρξάμενος ἀπό* (*ἔκ*) *τινος* iſt oft zu überſetzen: von Jemand an (ihn mit) gerechnet, in der Regel dem zu beſtimmenden Begriffe angefügt. *Τοῖς ἐν πλείσταις ἐξουσίαις γεγενημένους ἴδοι τις ἂν ταῖς μεγίσταις συμφοραῖς περιπεπτωκότας, ἀρξαμένους ἀφ' ἡμῶν καὶ Λακεδαιμονίων. Ἰσ. Ἀδίκοις κάκιστα ξύμπαντα, ἀρξάμενα ἀπὸ τῆς ὑγιείας. Πλ. Κακὰ πολὺ πλείω ποιοῦσιν ἢ ἀγαθὰ πάντες ἄνθρωποι ἀρξάμενοι ἐκ παίδων. Πλ.* Vgl. Buttm. zu Pl. Men. Ind.

A. 7. Im Dialog fügt man ſeine Worte oft ſyntaktiſch an die Rede deſſen der eben geſprochen hat; eben ſo an die unterbrochene eigne. So auch das Particip. *Ξυγχωρῶ καὶ παραδέχομαι. Καλῶς γε σὺ τοίνυν, ἦν δ' ἐγώ, ποιῶν. Πλ. Ἀναμιμνήσκονται ἅ ποτε ἔμαθον. Ἀνάγκη. Πότε λαβοῦσαι αἱ ψυχαὶ ἡμῶν τὴν ἐπιστήμην αὐτῶν; Πλ.*

III. Das Particip appoſitiv und abſolut.

9. Die appoſitive Participialconſtruction und ihr zur Seite gehend die abſolute ſind eine unklarere Ausdrucksweiſe für Sätze die mit dem Hauptſatze in einem temporalen oder realen Verhältniſſe ſtehen.

A. 1. Einem Begriffe des Hauptſatzes kann ein Particip mit eigenem Subject angefügt werden, wenn dieſes theilweiſe (oder auch ganz) mit jenem Begriffe zuſammenfällt. *Ὁ πεζὸς ἀμφοτέρων πολὺν τὸν ἀγῶνα εἶχε, φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες μὴ ἔτι χείρω πράξωσιν. Θ. Τὸ ἄλλο ἐκομίσθη, ἀνὴρ ἀντ' ἀνδρὸς λυθείς. Θ. Ἀπεβλέψατε πρὸς ἀλλήλους ὡς αὐτὸς ἕκαστος οὐδὲν ποιήσων. Δη. Τὸ ἐγχειρισθῆναι αὐτοῖς πολεμίων πλῆθος πεφοβημένον, ἐπὶ τὸ μάχεσθαι οὐδένα τρεπόμενον, ἐς δὲ τὸ ἀπόλλυσθαι πάντας πάντα ὑπηρετοῦντας, πῶς οὐκ ἄν τις θεῖον ἡγήσαιτο; Ξε. (Ἅρμα ἐξήγετο, φοινικίσι καταπεπταμένοι οἱ ἵπποι. Ξε.)* [*Ἀνεγείρας τὴν ἐμὴν ἀηδόνα καλοῦμεν αὐτούς. Ἀρ.*]

[A. 2. Dieſelbe Verbindung iſt ſtatthaft, wenn beim Particip ein weiterer Begriff, beim beſtimmten Verbum ein Theilbegriff deſſelben als Subject eintritt. *Οἱ ἄνθρωποι λιπόντες τὴν ὁδὸν φεύγοντες ὀλίγοι ἀπέθνησκον. Ξε.*]

[A. 3. Bei Gegenſätzen erlaubte man ſich zuweilen einem im Nominativ geſetzten Particip zwei Subjecte anzufügen, wenn auch das Particip nur dem Einen angehört. [Dem. 52, 30 vgl. Xen. Cyr. 4, 6, 3 und An. 1, 8, 27.] *Πάχης προκαλεσάμενος ἐς λόγους Ἱππίαν — ὁ μὲν ἐξῆλθε παρ' αὐτόν, ὁ δ' ἐκεῖνον ἐν φυλακῇ ἀδέσμῳ εἶχεν. Θ.*]

(A. 4. Wirklich anakoluthartig wird der Nominativ des Particips auch auf einen (gesetzten oder zu denkenden) Accusativ, Dativ oder Genitiv des Hauptsatzes bezogen, theils weil man für den gewählten Ausdruck leicht einen synonymen mit dem Nominativ denken konnte, z. B. für *ἦν πᾶσι βοή* etwa *πάντες ἐβόων*; theils weil der Nominativ gewisser Maaßen formlos ist. Vgl. § 45, 2 A. 2. 3. *Αἴαν πάλαι δή σ' ἐξερωτῆσαι θέλων σχολή μ' ἀπεῖργεν. Εὐ. Θεῶν φόβος ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε, τὸ μὲν κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μή, τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι. Θ. — Ἦν πᾶσ' ὁμοῦ βοή, ὁ μὲν στενάζων, ὅσον ἐτύγχανεν πνέων, αἰ δ' ἠλάλαζον. Εὐ. Μετὰ ταῦτα ἡ ξύνοδος ἦν, Ἀργεῖοι μὲν ὀργῇ χωροῦντες, Λακεδαιμόνιοι δὲ βραδέως. Θ. — Τὰ περὶ Πύλον ὑπ' ἀμφοτέρων κατὰ κράτος ἐπολεμεῖτο, Ἀθηναῖοι μὲν περιπλέοντες, Πελοποννήσιοι δὲ ἐν τῇ ἠπείρῳ στρατοπεδευόμενοι. Θ. Ἡ οἰμωγὴ εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων. Ξε.)*

A. 5. Als absolute Accusative gebrauchte man von impersonalen oder ohne Subject gesetzten Verben, im letztern Falle passiven oder passivartigen, das Neutrum der Participia; von den letztern am häufigsten Perfecta, bin und wieder Aoriste. So finden sich *δέον* da es nöthig ist, *προσῆκον* da es sich gebührt, *ὄν*, *ἐξόν* und *παρόν* da es erlaubt ist u. ä.; *εἰρημένον* da es gesagt, bestimmt war, *προσταχθέν* da es geheißen war u. ä. Hinzutreten können auch *ὡς* und *ὥσπερ* als ob, wie wenn. *Οὐχ οὗτοι ἱκανοί εἰσιν ἀγωνισταὶ οἵτινες ἀγρυπνῆσαι δέον ἡττῶνται τούτου. Ξε. Ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε. Θ. Τοὺς σκώπτειν δυναμένους εὐφυεῖς καλοῦσι, προσῆκον τῆς προσηγορίας ταύτης τυγχάνειν τοὺς ἄριστα πρὸς ἀρετὴν πεφυκότας. Ἰσ. Ἐκβῆναι οὐκ ὂν ἀναγκαῖον ἦν ἐπ' ἀγκύρας ἀποσαλεύειν. Δη. Ἐξὸν ἡμῖν ζῆν μὴ καλῶς καλῶς αἱρούμεθα μᾶλλον τελευτᾶν. Πλ. Μὴ τοὺς ἀμείνονας παρὸν φίλους ἑλέσθαι τοὺς κακίονας λάβῃς. Εὐ. Βουλῆς νῦν ἀξιοῖ τυχεῖν, οὐ μετὸν αὐτῷ. Λυ. Ἀνδρῶν ἀγαθῶν ἐστιν ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν ἐκ πολέμου πάλιν ξυμβῆναι. Θ. Τί αὐτοῖς ὑπάρχον τῶν ἑτέρων κατηγοροῦσιν; Ἀνδ. Ἀμφοτέροις μὲν δοκοῦν ἀναχωρεῖν, κυρωθὲν δὲ οὐδὲν οἱ Μακεδόνες ἐχώρουν ἐπ' οἶκον. Θ. — Λακεδαιμόνιοι ἀδικήσουσιν Ἀθηναίους, εἰρημένον ἄνευ ἀλλήλων μὴ σπένδεσθαι. Θ. Ἰατρῷ προστεταγμένον ὅλον τι θεραπεύειν τῶν μορίων ἀμελοῦντι ἔξει ποτὲ καλῶς αὐτῷ τὸ πᾶν; Πη. — Ἀλκιβιάδης ἐτόλμησεν ἀναβῆναι, ὡς οὐκ ἐξεσόμενον τῇ πόλει δίκην παρὰ τῶν ἀδικούντων λαμβάνειν. Λυ. Οὐ δίκην παρὰ τῶν ἀδικούντων λαμβάνετε, ὥσπερ οὐ τῆς ζημίας αὐτοῖς μέλον. Λυ. Σιωπῇ ἐδείπνουν, ὥσπερ τοῦτο ἐπιτεταγμένον αὐτοῖς ὑπὸ κρείττονός τινος. Ξε.*

(A. 6. Mit *ταῦτα* findet sich *δόξαντα ταῦτα* und selbst *δόξαν ταῦτα* (wie *δοκεῖ ταῦτα*). *Δόξαντα ὑμῖν ταῦτα εἵλεσθε ἄνδρας εἴκοσιν. Ἀνδ. Δόξαν ἡμῖν ταῦτα ἐπορευόμεθα. Πλ.)*

A. 7. Eben so (wie A. 5) stehen auch Neutra von Adjectiven mit *ὄν* absolut; ohne *ἄν* wohl nur wenn *ὡς* hinzutritt. *Παρεκελεύοντο κραυγῇ χρώμενοι, ἀδύνατον ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆναι. Θ. Ἐγὼ οἶμαι ψηφίσασθαι ἂν τὸ πλῆθος συνελθὸν τοὺς κρατίστους καὶ τιμαῖς καὶ δώροις πλεονεκτεῖν, ἅμα μὲν συναγορευόντων ἡμῶν, ἅμα δὲ αἰσχρὸν ὂν ἀντιλέγειν. Ξε. — Ὡς οὐκ ἀναγκαῖον τὸ κλέπτειν αἰτιᾷ τὸν κλέπτοντα. Ξε.*

A. 8. Sonst steht bei hinzugefügtem Subject, *τούτου, τούτων* ꝛc.,

der absolute Genitiv. Vgl. § 47, 4 A. 4. *Τούτου ὑπάρχοντος τὰ τούτοις ἐφεξῆς ἡμῖν λεκτέον. Πλ. Δόξαντος τούτου ᾤχετο. Ξε. Δοξάντων τούτων κατέλιπον τρεῖς ναῦς. Ξε. Ἐπίσταμαι τριήρεις πολλάκις ἐκπεμπομένας, τούτου μὲν ἀδήλου ὄντος εἴτε βέλτιον εἴτε κάκιον ἔσται· ἐκείνου δὲ δήλου ὅτι οὐδέποτε ἀπολήψονται ἃ ἂν εἰς-ενέγκωσιν. Ξε.*

A. 9. Ueber den ohne Subject ähnlich gebrauchten Ge. § 47, 4 A. 4. 5; über den absoluten Ge. überhaupt § 47, 4 u. A. 2. 3.

A. 10. Mit hinzugefügtem Subject findet sich der absolute Accusativ (wie der Ge.) in Verbindung mit ὡς als ob und ὥσπερ gerade wie wenn. *Τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, εἴργουσιν ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν κατάλυσιν. Ξε. Πολλοὶ τῶν ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. Ξε.* Vgl. Elmsley zu Eu. Her. 693. ?

A. 11. Ueber den absoluten Dativ § 48, 5 A. 1. Als zum Participp gehöriges Nomen ist oft nicht bloß zum Ge. (§ 47, 4 A. 3), sondern auch zum Da. und Ac. ein Pronomen zu ergänzen. Kr. zu Xen. An. 4, 1, 17 und 7, 1, 10.

10. Im temporalen Verhältnisse bezeichnet das Participp eine rein äußerlich der Zeit nach stattfindende Verbindung, wie eben das Tempus des Participps sie andeutet: das Präsens Gleichzeitiges, der Aorist und das Perfect Vorzeitiges, das Futur Bevorstehendes.

A. 1. Die Griechen gebrauchen die den Ausdruck verkürzende Participialconstruction ungleich häufiger als wir und selbst als die Lateiner (daher auch *μεταληπτικοὶ* genannt). In vielen Fällen übersetzen wir die Participia durch das Relativ oder Conjunctionen: 1) das des Präsens durch wann (zur Zeit wo), während, indem, da, so lange als, so oft als; 2) das des Aorist und Perfects durch wann, nachdem, als, da; 3) das des Futurs (meist die Nebenidee des Zweckes enthaltend) durch um, indem er sollte oder wollte ꝛc. *Φύσει πως εὐάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν. Μέ. (Πότερον κάλλιον πράττοι ἄν τις εἰς ὢν πολλὰς τέχνας ἐργαζόμενος ἢ ὅταν μίαν εἰς (ἐργάζηται); Πλ.) Νεανίας ὅστις ὢν Ἄρην στυγεῖ κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ. Εὐ. Τί φής; λαθεῖν ζητῶν τι πρὸς γυναῖκ' ἐρεῖς; Μέ. Ἀργὸς οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνου. Εὐ. Ὅτε μὲν ἔπιοι τὸ τῶν Ἀθηναίων στρατόπεδον ὑπεχώρουν, ἀναχωροῦσι δ' ἐπέκειντο. Θ. — Πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ διαλαθόντες τῶν παρόντων κινδύνων ἀπελύθησαν. Λυκ. Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν Γν. Ἡδὺ σωθέντα μεμνῆσθαι πόνων. Εὐ. — Ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἦκεν ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος. Θ. — Οἷάπερ παρόντος ἐμοῦ λέγετε, τοιαῦτα καὶ περὶ ἀπόντος φρονεῖτε. Ἰσ. Πολεμοῦνται ἀσαφῶς ὁποτέρων ἀρξάντων. Θ.*

A. 2 Oft übersetzen wir das Participp durch ein verbales Substantiv und das Substantiv durch den Genitiv. *Αἴας μ' ἀδελφὸς ὤλεσ' ἐν Τροίᾳ θανών. Εὐ. Ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρεῖχεν. Θ.* Vgl. § 50, 11 A. 3.

A. 3. Verdeutlicht und näher bestimmt wird die temporale Bedeutung des Particips durch hinzugefügte Adverbia. So stehen vor dem Particip *μεταξύ* mitten in — und *εὐθύς* sogleich nach — (das Particip durch ein Substantiv zu übersetzen) vor oder nach demselben *ἅμα*, nur nach demselben *ἐνταῦθα δή, εἶτα, ἔπειτα, οὕτω, (τότε) ἤδη.* (Eben so folgt zuweilen auch *μετὰ ταῦτα* und *ἐκ τούτου.*) *Οἱ βάρβαροι καὶ φεύγοντες ἅμα ἐτίτρωσκον. Ξε. Ἅμα ταῦτ' εἰπὼν ἀνέστη. Ξε. — Τίς ἂν εἴη τοιοῦτος ἰατρὸς ὅστις τῷ νοσοῦντι μεταξὺ ἀσθενοῦντι μηδὲν συμβουλεύοι; Αἰ. — Οἱ Λακεδαιμόνιοι ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ ἀνδρεῖον μετέρχονται. Θ. Τοῖς καλοῖς εὐθὺς ἰδόντες εὖνοι γιγνόμεθα. Ἰσ. (Ἐπιγενομένη ἡ νόσος ἐνταῦθα δὴ πάνυ ἐπίεσε τοὺς Ἀθηναίους. Θ.) — Οὐ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν χρήζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν. Σο. Σκόπει τάδε, μὴ νῦν φυγόντες εἶθ' ἁλῶμεν ὕστερον. Εὐ. Οἱ ἄνθρωποι ἄνδρα ἡγησάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νομίσαντες ἔπειτα τοῦτον ἀνὰ στόμα ἔχοντες ἐπαινοῦσιν. Ξε. — Οἱ ζωγράφοι ἐκ πολλῶν συνάγοντες τὰ ἐξ ἑκάστου κάλλιστα οὕτως ὅλα τὰ σώματα καλὰ ποιοῦσι φαίνεσθαι. Ξε. Ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες οὕτω τὸν βίον ἐτελεύτησαν. Δυ. — Τῷ ὑπερβάλλοντι τῶν ἐπαίνων φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. Θ. Κοινῇ ἀσκήσαντες τότε ἤδη, ἐὰν δοκῇ χρῆναι, ἐπιθησόμεθα τοῖς πολιτικοῖς. Πλ. — (Εἴ τις δῶρα λαμβάνων μετὰ ταῦτα λέγει καὶ γινώσκει περὶ τῶν πραγμάτων, ἐξώλης ἔστω. Δειν. Ἐν ἐμαυτῷ πεῖραν λαβὼν ἐκ τούτου καὶ ἄλλον ἤλαυνον. Ξε.)*

(A. 4. *Ἔρχεσθαι* und *ἰέναι* mit dem Particip des Futurs stehen auch in uneigentlicher Bedeutung: ich bin im Begriff zu —, bei Attikern selten. *Οἶσθα εἰς οἷον κίνδυνον ἔρχει ὑποθήσων τὴν ψυχήν. Πλ. Ὅπερ ᾗα νῦν ἐρῶν, ἡ ἀπληστία παρασκευάζει τυραννίδος δεηθῆναι. Πλ.*)

(A. 5. Mit einer kleinen Ungenauigkeit steht in relativen und Fragesätzen bei *χρή* und *δεῖ* das Particip mit dem Infinitiv, während eig. nur jenes zu *χρή* oder *δεῖ* gehört: was muß —, um zu —. *Ποίαν χρὴ ποίῳ ἀνδρὶ συνοῦσαν ὡς ἀρίστους παῖδας τίκτειν; Πλ. Τί χρὴ τὸν ἄθλιον δράσαντας σοὶ χαρίζεσθαι; Εὐ. Ἦσαν ἐπὶ χαράδρᾳ, ἣν ἔδει διαβάντας πρὸς τὸ ὄρθιον ἐκβαίνειν. Ξε.*)

11. Die temporale Verbindung kann auch eine bloß angenommene, hypothetische sein: im Fall, wenn.

A. So am häufigsten in allgemeinen Sätzen. *Ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει. Εὐ. Ὦ τρισκακοδαίμων ὅστις ὢν πένης γαμεῖ. Γν. Πᾶς ἑαυτῷ συγγνώμην ἕξει κακῷ ὄντι. Πλ. Οὐκ ἔστιν αἰσχρὸν ἀγνοοῦντα μανθάνειν. Γν. Δυοῖν λεγόντοιν θατέρου θυμουμένου ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος. Εὐ. — Ῥίψας λόγον τις οὐκ ἀναιρεῖται πάλιν. Γν. Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν. Εὐ. Ῥᾷον παραινεῖν ἢ παθόντα χαρτερεῖν. Γν. Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς. Σο. — Χρήματα κτωμένους εὐφραίνει καὶ κεκτημένους ἐλευθεριώτερον καὶ ἥδιον ζῆν ποιεῖ. Ξε. — Ἐπὶ Κέκροπος ξυνήεσαν βουλευσόμενοi ὡς τὸν βασιλέα. Θ.*

12. Verbundene Handlungen können leicht auch als auf einander einwirkende gedacht werden, und daher kann das

Particip mit seinem Verbum auch in einem caussalen Verhältnisse stehen.

A. 1. So bezeichnet das Particip des Präsens und der Präterita auch das Mittel: dadurch daß, und selbst den Grund: deshalb weil, da; das des Futurs den Zweck: um zu. *Μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον. Γν. Πατὴρ ἀπειλῶν οὐκ ἔχει μέγαν φόβον. Μέ. Λαίμων ἐμαυτῷ γέγονα γήμας πλουσίαν. Γν. — Ὁ ἄδικος λόγος νοσῶν ἐν αὐτῷ φαρμάκων δεῖται σοφῶν. Εὐ. Οἱ μεγάλα δαπανώμενοι πολλῶν δεόμενοι αἰσχροκερδέστατοί εἰσιν. Ἀνδ. Συνετὸς πεφυκὼς φεῦγε τὴν πανουργίαν. Γν. Οὔτε μικρὸν οὔτε μέγα οὐδὲν τῶν δεόντων ποιούντων ὑμῶν κακῶς ἔχει τὰ πράγματα. Δη. — Οὐκ ἐς λόγους ἐλήλυθ', ἀλλά σε κτενῶν. Εὐ. — (Λέγω τοῦδ' ἕνεκα, βουλόμενος δόξαι σοὶ ὅπερ ἐμοί. Πλ.)*

A. 2. Bei Angabe eines Grundes werden dem Particip zur Verdeutlichung auch *ἅτε* und *ὡς* beigefügt: *ἅτε* (selten *οἷα*), wenn der Grund als äußerlicher (objectiv), in der Natur der Sache liegender, vorgestellt wird: da nämlich, quippe; *ὡς*, wenn die Erscheinung der Sache den Grund als Urtheil hervorbringt: wie, wie wenn, als ob, in der Voraussetzung, Meinung daß — . *Ὁ Ἔρως, ἅτε αὐτὸς ὢν μόναρχος, ἐπὶ πᾶσαν τόλμαν ἄξει. Πλ. Ἅτε ἀήθους τοῖς Λακεδαιμονίοις γεγενημένης τῆς τοιαύτης συμφορᾶς, πολὺ πένθος ἦν. Ξε. (Οἷα δὴ ἀπιόντων ἐπελαύνουσιν. Ξε.) — Οἱ βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν. Ξε. Αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσοντες. Ξε. Ἐρώτα ὡς τἀληθῆ ἐροῦντος. Ξε.*

A. 3. Die Partikeln *ἅτε* und *ὡς* erscheinen auch (ohne *ὤν*) bei einem bloßen Nomen. *Τοὺς τῆς τραγῳδίας ποιητὰς εἰς τὴν πολιτείαν οὐ παραδεξόμεθα, ἅτε τυραννίδος ὑμνητάς. Πλ. Ἀναβαίνει ὁ Κῦρος λαβὼν Τισσαφέρνην ὡς φίλον. Ξε.*

A. 4. Nach einem caussalen Particip kann auch *οὕτως* eintreten; eben so verdeutlichend und verstärkend *διὰ τοῦτο*, *διὰ ταῦτα*. *Παντὸς μᾶλλον αὐτὸς ἀπορῶν οὕτως καὶ τοὺς ἄλλους ἀπορεῖν ποιῶ. Πλ. Νομίζων ἀμείνονας καὶ κρείττους πολλῶν βαρβάρων ὑμᾶς εἶναι διὰ τοῦτο προσέλαβον. Ξε. Σωκράτης οἴεσθαι ἔφη τὸν Ὀδυσσέα Ἑρμοῦ τε ὑποθημοσύνῃ καὶ αὐτὸν ἐγκρατῆ ὄντα διὰ ταῦτα οὐδὲ γενέσθαι ἂν. Ξε.*

13. Sogar auch gegensätzlich kann das Particip seinem Verbum beigefügt werden.

A. 1. Gewöhnlich ist es in diesem Falle durch obgleich übersetzbar, mitunter durch welcher. (Auch hier fehlt *ὤν* zuweilen.) *Πολλοὶ μὲν ὄντες εὐγενεῖς εἰσιν κακοί. Εὐ. Ἀνὴρ δίκαιος οὐχ ὁ μὴ ἀδικῶν, ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος οὐ βούλεται. Φιλήμων. Ἔρχεται τἀληθὲς εἰς φῶς ἐνίοτ' οὐ ζητούμενον. Μέ. Πολλοὺς ὁ καιρὸς οὐκ ὄντας ποιεῖ φίλους. Γν. — Δὶς τό γε καλὸν ῥηθὲν οὐδὲν βλάπτει. Πλ. — Πολλῶν κατὰ γῆν καὶ κατὰ θάλατταν θηρίων ὄντων μέγιστόν ἐστι θηρίον γυνή. Μέ. — (Θεὸς συνεργὸς πάντα ποιεῖ ῥᾳδίως. Γν.* Vgl. §. 57, 2 A. 5.)

A. 2. Verdeutlicht wird dieses Particip durch *καί* auch, selbst, negativ *οὐδέ*, *μηδέ*,) und *καίπερ*, das bei den Attikern nicht leicht an-

ders als mit dem Particip oder einer participartigen Construction vorkommt, während *καίτοι* nur bei einem selbstständigen Satze eintritt. Erst bei Spätern werden beide öfter auch umgekehrt gebraucht. [Auch Plat. Symp. 219, Rep. 511, Lys. 31, 34?] *Καὶ δοῦλος ὢν τίμιος πλουτῶν ἀνήρ. Εὐ. Αἱ συμφοραὶ καὶ βραχὺν ὄντα μακρὸν δοκεῖν εἶναι ποιοῦσι τὸν βίον. Ἡρ. Κύπρις οὐδὲ νουθετουμένη χαλᾷ. Εὐ. Γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων. Εὐ. — Συμβουλεύω σοι, καίπερ νεώτερος ὤν. Ξε. Διαπεπραγμένος ἦκε, καίπερ πάνυ πολλῶν ἀντιλεγόντων. Ξε. (Οὐκ ἂν προδοίην καίπερ ἄψυχον φίλον. Εὐ. Λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου. Σο.)*

A. 3. Urgirt wird der Gegensatz durch ein zugefügtes *ὅμως*, das auch dem Particip sich anschließen und nicht minder vor demselben stehen kann. *Ἦ δοκεῖ τίς σοι γιγνώσκων τὰ κακὰ ὅτι κακά ἐστιν ὅμως ἐπιθυμεῖν αὐτῶν; Πλ, — (Καὶ θνήσκουσ' ὅμως, πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν. Εὐ. — Πείθου γυναιξίν, καίπερ οὐ στέργων ὅμως. Αἰσ. —) Φοβεῖται μὴ ἡ ψυχὴ ὅμως καὶ θειότερον καὶ κάλλιον ὂν τοῦ σώματος προαπολλύηται. Πλ. Οὓς ἂν αἰσθάνωμαι ὅμως καὶ εὖ πάσχοντας ἔτι ἀδικεῖν πειρωμένους, τούτους ὡς ἀνηκέστους πλεονέκτας ὄντας ἤδη καὶ τῆς χρήσεως ἀποπαύω. Ξε. Ὅμως πρός γε τὰς ἄλλας τέχνας καίπερ οὕτω πρατιούσης φιλοσοφίας τὸ ἀξίωμα μεγαλοπρεπέστερον καταλείπεται. Πλ.*

IV. Verschiedene Casus von Participien durch Conjunctionen, mehrere Participia ohne Conjunctionen verbunden. Ergänzung.

14. Copulative und adversative Partikeln können Participia von verschiedener Bedeutung und selbst von verschiedener Form verbinden.

A. 1. So kann mit einem caussalen ein conditionales Particip verbunden werden. *Ὑμῶν ἀνδρῶν ὄντων καὶ εὐτόλμων γενομένων ἐγὼ ὑμῶν τὸν οἶκαδε βουλόμενον ἀπιέναι τοῖς οἴκοι ζηλωτὸν ποιήσω ἀπελθεῖν. Ξε. Ἔμη κατὰ τὸ εἰκὸς κρατήσειν σφᾶς τῶν πολεμίων, ἀνδρίας μὲν σφίσιν ὑπαρχούσης, εὐταξίας δὲ προσγενομένης. Θ.*

A. 2. Noch auffallender verbindet sich z. B. mit einem regierten Ge. ein absoluter, mit einem absoluten ein No. oder Da., ein No. mit einem absoluten Ge., ein Da. mit einem No. ꝛc. Ein auch im Lateinischen vorkommender Sprachgebrauch, am freisten bei Livius, oft mißverstanden. *Τὰ ἐπιτήδεια εἶχον ἐκ τῆς ἐν μέσῳ χώρας πολλῆς καὶ ἀγαθῆς οὔσης καὶ τῶν ἐπιτηδείων ἐνόντων. Ξε. Ἀλκιβιάδης τοῖς Πελοποννησίοις ὕποπτος ὢν καὶ ἀπ' αὐτῶν ἀφικομένης ἐπιστολῆς ὥστ' ἀποκτεῖναι ὑποχωρεῖ παρὰ Τισσαφέρνην. Θ. Οἱ Ἕλληνες παρασκευάζονται ὡς ταύτῃ προσιόντος (βασιλέως) καὶ δεξόμενοι. Ξε. — Εἰσήλθομεν εἰς τὸν πόλεμον ἔχοντες τριήρεις οὐκ ἐλάττους τετρακοσίων, ὑπαρχόντων δὲ χρημάτων πολλῶν, ἄρχοντες δὲ τῶν νήσων ἁπασῶν. Ξε. Οὐδαμόθεν μαθὼν οὐδὲ ὄντος διδασκάλου οὐδενὸς αὐτῷ ἔπειτα συμβουλεύειν ἐπιχειρεῖ. Πλ. Ἤλπιζον ῥᾳδίως αἱρήσειν οἰκοδόμημα διὰ ταχέων εἰργασμένον καὶ ἀνθρώπων ὀλίγων*

ξνόντων. Θ. — Τῷ τείχει προσέβαλον ὄντι ἀσθενεῖ καὶ ἀνθρώπων οὐκ ἐνόντων. Θ. Οὓς χεῖρας προϊσχομένους καὶ ζωγρήσαντες διεφθείρατε, πῶς οὐ δεινὰ εἴργασθε; Θ. Τῷ Ἀλκιβιάδῃ ἤχθοντο, ἐμποδὼν ὄντι σφίσι μὴ αὐτοῖς τοῦ δήμου βεβαίως προεστάναι καὶ νομίσαντες, εἰ αὐτὸν ἐξελάσειαν, πρῶτοι ἂν εἶναι. Θ. — Μεταπεμφθέντες ἦλθον ἢ οὐδενὸς καλέσαντος. Λυ. Καρποὺς ἀφθόνους εἶχον οὐχ ὑπὸ γεωργίας φυομένους ἀλλ' αὐτομάτης ἀναδιδούσης τῆς γῆς. Πλ.

Οὐχ ἡσύχαζον, ἀνδρῶν τε σφίσιν ἐνόντων καὶ ἅμα περὶ τῷ χωρίῳ δεδιότες. Θ. — Ἔμαθον ἃ φὴς αὐτὰς ἐπίστασθαι ὡς οὔτε χρήσιμα ὄντα πρὸς τὸν βίον οὔτε ποιήσουσαι αὐτῶν οὐδέν. Ξε. Ἡ γυνὴ τρέφει τε καὶ ἐπιμελεῖται οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν οὔτε γιγνῶσκον τὸ βρέφος ὑφ' ὅτου εὖ πάσχει οὐδὲ σημαίνειν δυνάμενον ὅτου δεῖται. Ξε. Κάλλιστον ὅτι μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς καὶ μὴ ἀγαναχτεῖν, ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων, οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι, οὔτε τι τῶν ἀνθρωπίνων ἄξιον ὂν μεγάλης σπουδῆς. Πλ. — Εἶδεν εἴτε δή τινος εἰπόντος εἴτ' αὐτὸς συνεὶς ὅτι σωτηρία μόνη γένοιτ' ἂν αὐτῷ ἡ ὑμετέρα φιλανθρωπία. Δη. Ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, ὡς ὅταν ἐξέλθωσιν ἢ οὐχ ὑπομενοῦντας σφᾶς ἢ ῥᾳδίως ληψόμενοι βίᾳ. Θ. — Αἰσχυνοίμην ἄν, εἰ γεγονὼς μὲν ἀφ' Ἡρακλέους, τοῦ δὲ πατρὸς βασιλεύσαντος, αὐτὸς δ' ἔπίδοξος ὢν τυχεῖν τῆς τιμῆς ταύτης περιίδοιμι τὴν χώραν τοὺς οἰκέτας τοὺς ἡμετέρους ἔχοντας. Ἰσ. Ἐκείνοις οὐκ ἐβούλετο μάχεσθαι, ἄλλως τε καὶ εὐτυχηκόσι, τῶν δὲ ἀποτετυχηκότων. Ξε. Οἴονται χρῆναι οὕτω ῥᾳδίως ὃν ἂν βούλωνται κακῶς ποιεῖν, ὥσπερ τῶν μὲν ἄλλων ἀδικούντων, ἄρισται δὲ ἄνδρες αὐτοὶ γεγενημένοι. Λυ. Ἐνόμιζον τῶν Συρακοσίων τοὺς ἱππέας πολλοὺς ὄντας, σφίσι δ' οὐ παρόντων ἱππέων πολλὰ ἂν βλάπτειν. Θ.

15. Einem bestimmten Verbum finden sich oft mehrere Participia angefügt, doch auf mehr als eine Weise.

A. 1. Selten ist ein wirkliches Asyndeton von Participien. Τὰ δέκα τάλαντα ὁρώντων, φρονούντων, βλεπόντων ἔλαθον ὑμῶν ὑφελόμενοι. Αἰ.

A. 2. Häufig schließt sich ein Particip dem andern an, indem man z. B. für λαβὼν συνέλεξε καὶ ἐπολέμει sagen kann λαβὼν συλλέξας ἐπολέμει. Ὁ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας συλλέξας στράτευμα ἐπολιόρκει Μίλητον. Ξε. Ἀρχέλαος τὸν θεῖον μεταπεμψάμενος ξενίσας καὶ καταμεθύσας ἐμβαλὼν εἰς ἅμαξαν νύκτωρ ἐξαγαγὼν ἀπέσφαξε καὶ ἠφάνισεν. Πλ. — Κατάσκοπον πέμψαντες ἀπαγγείλαντος αὐτοῖς ὡς εἴη ταῦτα ἀληθῆ τοὺς Ἐρυθραίους εὐθὺς ξυμμάχους ἐποιήσαντο. Θ. — Οἱ πρόγονοι καὶ τῶν πολεμίων καὶ τῶν συμμάχων περιγεγόνασι, τοὺς μὲν εὐεργετοῦντες τοὺς δὲ μαχόμενοι νικῶντες. Λυκ. — Ἄδικοι ὄντες λισσόμενοι ὑπερβαίνοντες καὶ ἁμαρτάνοντες πείθοντες αὐτοὺς ἀζήμιοι ἀπαλλάξομεν. Πλ.

A. 3. Das eine Particip kann dem andern auch appositiv beigefügt werden. Ἐξέτασιν ποιήσαντες ἐν τοῖς ἱππεῦσι, φάσκοντες εἰδέναι βούλεσθαι πόσοι εἶεν, ἐκέλευον ἀπογράφεσθαι πάντας. Ξε. Ἐντυχὼν ἀνθρώπῳ ὀφθαλμιῶντι, ἀπιόντι ἐξ ἰατρείου κάλαμον ἔχοντι, ἀπέκτεινεν. Ξε.

A. 4. Ein Particip kann mit einem Verbum zu einem Begriffe verschmelzen und diesem so verbundenen Begriffe ein anderes Particip beigefügt werden. *Ὠιόμεθ' ὑμᾶς πυθομένους τὰ παρ' ὑμῖν φοβηθέντας οἴχεσθαι ἀποδράντας ἐπὶ θάλασσαν. Ξε. Ἡ πόλις ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης κινδυνεύουσα πάντα τὸν αἰῶνα διατετέλεκεν. Δη. Ἐπιθυμῶ ἐκταθείς, ὥσπερ Ὀδυσσεύς, καθεύδων ἀφικέσθαι εἰς τὴν Ἑλλάδα. Ξε.*

A. 5. Doch können zwei Participia einem Verbum auch in verschiedener Beziehung angefügt sein. *Ἆρα προσδοκᾷς ποτέ τινά τι ἱκανῶς ἂν στέρξαι ὁ πράττων ἂν ἀλγῶν τε πράττοι δὴ καὶ μόγις σμικρὸν ἀνύτων; Πλ. Ὦμοσαν σφάξαντες κάπρον βάπτοντες οἱ μὲν Ἕλληνες ξίφος, οἱ δὲ βάρβαροι λόγχην. Ξε. Θύσαντες, ἐπεὶ καλλιερήσαντο, ἀριστήσαντες ὀρθίους τοὺς λόχους ποιησάμενοι ἐπορεύοντο τοὺς τοξότας μεταξὺ τῶν λόχων ἔχοντες. Ξε. — Προδραμόντες διαβάντες τὴν χαράδραν, ὁρῶντες πρόβατα πολλά, προσέβαλλον πρὸς τὸ χωρίον. Ξε.*

A. 6. Prädicativ kann ein Particip einem andern selbst in Verbindung mit dem Artikel zugefügt werden, wie *ζῶν ἔχεται* so *ὁ ζῶν ἐχόμενος* ꝛc. vgl. §. 50, 12 A. 1. *Οἱ ζῶντες καταλειπόμενοι τραυματίαι τε καὶ ἀσθενεῖς πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν. Θ. Παρεγένοντο ἤδη τῶν ἀνδρῶν τῶν μὲν διεφθαρμένων, τῶν δὲ ζώντων ἐχομένων. Θ. Τῷ σφενδονᾶν ἐντεταγμένῳ ἐθέλοντι ἄλλην τινὰ ἀτέλειαν εὑρίσκωμεν. Ξε. Ἀπεκρίναιο Θεαγένους ἀδελφὴ εἶναι τοῦ πεσόντος ἐν Χαιρωνείᾳ στρατηγοῦντος. Πλουτ.*

16. Oft ist das Particip (wie der Infinitiv § 55, 4 A. 11) zu einem Verbum aus einem in der Nähe stehenden Verbum zu ergänzen.

A. So zu *τυγχάνειν, λανθάνειν, φθάνειν; παύειν, λήγειν, διατελεῖν; ὁρᾶν* u. a. *Πρὸς ὀργὴν ἥντινα τύχητε ἔστιν ὅτε σφαλέντες τὴν τοῦ πείσαντος μίαν γνώμην ζημιοῦτε. Θ. Τῶν πολεμίων τὰ μὲν ἐκ Σικελίας δι' ὀλίγου πορισμένων, τὰ δ' ἐκ Πελοποννήσου σχολαίτερον μέν, ὅμως δ', ἢν μὴ προσέχητε τὴν γνώμην, τὰ μὲν λήσουσιν ὑμᾶς, τὰ δὲ φθήσονται. Θ. — Οὐκ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδομεν. Θ. Ἔλεγον χρῆναι ἔτι ζητεῖν καὶ μὴ παύσασθαι. Ἀνδ. Τὰ μέν σ' ἐπαινῶ κοὐδαμῇ λήξω ποτέ. Αἰσ. Ἄργος καὶ Θῆβαι καὶ τότ' ἦσαν μέγισται καὶ νῦν ἔτι διατελοῦσιν. Ἰσ. — Ὡρμίσαντο καὶ αὐτοί, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους εἶδον. Θ. Ἀνιεπλήρουν τὰς ναῦς εὐθύς, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους ᾐσθάνοντο. Θ. Οἱ Λακεδαιμόνιοι οὐ ῥᾳδίως ἔφερον, ἀλλὰ καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις, ἐπρεσβεύοντο παρ' αὐτούς. Θ.*

V. Verbalia.

17. Participia sind auch die Verbalia auf *τός* und *τέος*.

A. Ueber die Bedeutung derer auf *τός* § 41, 11 A. 26. Zuweilen stehen sie auch in der Bedeutung unseres — werth, wie *ψεκτός* tadelnswerth. *Τοῖς μὲν γένει πολίταις ἱκανόν ἐστι λειτουργεῖν ὡς οἱ νόμοι προστάττουσι, τοὺς δὲ ποιητοὺς ὡς ἀποδιδόντας χάριν, οὕτω προσήκει φαίνεσθαι λειτουργοῦντας. Δη. — Ὁρῶν τὰ ὁρα-*

τὰ καὶ ἀκούων τὰ ἀκουστὰ γιγνώσκεις. Ξε. Ἅλωτὰ γίγνεθ' ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα. Μέ. — Ἦ μὴ ποίει τὸ κρυπτὸν ἢ μόνος ποίει. Γν. Ὅσα ἂν νοῦς τε καὶ διάνοια ἐργάσηται, ταῦτά ἐστι τὰ ἐπαινετά, ἃ δὲ μή, ψεκτά. Πλ. Τὰ μὲν μαθητὰ μανθάνω, τὰ δ' εὑρετὰ ζητῶ, τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην. Σο.

Τὸ προαιρεῖσθαι τὸ κατεπεῖγον πράττειν ἐθίζοιμεν ἂν τὸν εἰς τὸ ἄρχειν παιδευόμενον, ὅπως μὴ τὰ τῆς πόλεως ἄπρακτα γίγνηται παρὰ τὴν ἐκείνου ἀρχήν. Ξε. Εἴωθε τῶν πόλεων αἷς ἂν μάλιστα ἀπροσδόκητος εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν. Θ. Περὶ τῆς αὐτίκα ἀνελπίστου σωτηρίας τὸ πρόθυμον εἶχον. Θ. Ὁ Πειραιεὺς ην ἀφύλακτος καὶ ἄκλητος. Θ. — Αἱρεῖ τὴν πόλιν ἀφυλάκτοις τε ἐπιπεσὼν καὶ ἀπροσδοκήτοις. Θ. Οἱ Ἀθηναῖοι οὐχ ὁρῶντες χρήματα ἐν τῷ κοινῷ ἀνέλπιστοι ἦσαν σωθήσεσθαι. Θ. Οἱ ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες εὐλόγως ἄπρακτοι ἀπίασιν. Θ. Ὁ νομοθέτης τὸν ἀστράτευτον οὐκ ἐᾷ στεφανοῦσθαι. Αἰ.

18. Die Verbalia auf τέος (§ 42, 11 A. 27) stehen gew. mit εἶναι, von dem jedoch ἐστίν häufig ausgelassen wird, entweder persönlich als Prädicate eines Subjects oder unpersönlich im Neutrum, gewöhnlich des Singulars. Die Person von der die Handlung postulirt wird, steht im erstern Falle immer, im zweiten mehrentheils im Dativ.

A. 1. Persönlich stehen sie, wenn das Subject als Hauptbegriff hervortritt. Οὐ πρό γε τῆς ἀληθείας τιμητέος ἀνήρ, ἀλλ' ὃ λέγω ῥητέον. Πλ. Οἱ συμμαχεῖν ἐθέλοντες εὖ ποιητέοι. Ξε. Τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα. Σο. Ἃ τοῖς ἐλευθέροις ἡγοῦντο εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν. Αἰ. (Πολλῶν ἔτι μοι λεκτέων ὄντων ἀνάγνωθι τὰ περὶ τῆς ἡγεμονίας. Ἰσ. Περὶ τῶν ὑμῖν πρακτέων ὕστερον βουλεύσεσθε. Δη.)

A. 2. Unpersönlich stehen sie, wenn die Handlung die Hauptsache ist. Ueber den Plural § 44, 4 A. 2. Οἰστέον τὴν τύχην. Εὐ. Τὰς χρηστὰς καὶ ἡδονὰς καὶ λύπας καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον. Ἕνεκα γάρ που ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξε πρακτέον εἶναι. Πλ. Ἐνιά ἐστιν ἃ οὐ πρὸς ἀνθρώπους ἀγωνιστέον, ἀλλὰ πρὸς αὐτὰ τὰ πράγματα. Ξε. Τῷ ἀδικοῦντι δοτέον δίκην. Πλ. — Γυναικῶν οὐδέποτ' ἔσθ' ἡττητέα ἡμῖν. Ἀρ.

A. 3. Bei der unpersönlichen Construction findet sich, da sie mit δεῖ synonym ist (Plat. Rep. 431, d.), nicht selten statt des Dativs (neben demselben Thuc. 8, 65) auch der Accusativ, wobei ἐστίν immer zu fehlen scheint (Göttling zu Aristot. Pol. S. 350). Οὐ δουλευτέον τοὺς νοῦν ἔχοντας τοῖς κακῶς φρονοῦσιν. Ἰσ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι. Πλ.

A. 4. Die Verbalia stehen oft im Sinne ihrer Media: φυλακτέον man muß sich hüten (τί vor etwas), πειστέον man muß gehorchen ꝛc. Φυλακτέον τὸν ἔρωτα. Πλ. Τῷ νόμῳ πειστέον. Πλ. Εἶπεν ὅτι ἐκτέον μου εἴη. Ξε. Τοῦ νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον. Ἰσ. Παιδιᾶς μεθεκτέον. Πλ. Μουσικῆς ἁπτέον ἢ γυμναστικῆς. Πλ. Εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον τοῦ σώματος. Πλ. — Πολλὴ εὐλάβεια ὑμῖν ποιητέα ἐστίν. Ἀντ. Ὅρη ὑμῖν ὁρᾶτε ὄντα πορευτέα. Ξε.

Zweite Abtheilung: Synthesis.

Erster Abschnitt: Verbindung nominaler Begriffe.

Vorerinnerung. Der synthetische Theil der Syntax erörtert die mannigfachen Verbindungsweisen welche zwischen einzelnen Begriffen unter einander und die welche in Satzverhältnissen eintreten.

§ 57. Syntaktische Verbindung nominaler Begriffe.

I. Attributive Verbindung.

1. Das Attribut eines Substantivs kann zunächst ein Substantiv sein, wo denn beide Substantive gleichsam ein parathetisches Compositum bilden.

A. 1. Von persönlichen Bezeichnungen finden sich so am häufigsten, selten in Verbindung mit dem Artikel, *ἀνήρ* (wie *γυνή*) und (*ὁ, ἡ*) *ἄνθρωπος* (dies gewöhnlich geringschätzig) mit Benennungen des Standes, Geschäftes, Alters. Nicht hinzugefügt werden *ἀνήρ* ꝛc., wenn sie nicht in irgend einer Beziehung hervorzuheben sind: *ἰδιώτης* ein Privatmann, *ἀνὴρ ἰδιώτης* ein Mann der im Privatverhältnisse lebt. Jenes bezeichnet schlechtweg den Stand, dieses einen Mann in sofern er dem Stande angehört. Oft ist die Hinzufügung des *ἀνήρ* ehrend. *Λυπηρότερον ἐκ βασιλέως ἰδιώτην φανῆναι ἢ ἀρχὴν μὴ βασιλεῦσαι.* Ξε. — *Ἀνδρὶ τυράννῳ ἢ πόλει ἀρχὴν ἐχούσῃ οὐδὲν ἄλογον ὅ, τι ξυμφέρον οὐδ' οἰκεῖον ὅ, τι μὴ πιστόν.* Θ *Ἀνὴρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει.* Αἰ. Θ. *Ἀνὴρ ὁπλίτης δοῦλός ἐστι τῶν ὅπλων.* Εὐ. *Δεινὸν εἴ τις κατ' ἀνδρὸς πολίτου τολμᾷ τοιαῦτα καταψεύδεσθαι.* Αἰ. *Οἱ Σπαρτιᾶται οὐ ταχεῖς ἦσαν περὶ ἀνδρὸς Σπαρτιάτου ἄνευ ἀναμφισβητήτων τεκμηρίων βουλεῦσαί τι ἀνήκεστον.* Θ. — *Ἀνὴρ ῥήτωρ πάντων τῶν κακῶν αἴτιος.* Αἰ. *Καλόν τι ἄν μοι δοκοῦμεν ποιῆσαι, εἰ προθύμως Γαδάτᾳ βοηθήσαιμεν, ἀνδρὶ εὐεργέτῃ.* Ξε. *Δεινόν τε ὡς ἀληθῶς κινδυνεύει καὶ ἀηδὲς εἶναι ἀνὴρ ἀδολέσχης.* Πλ. *Ἀνδρὸς ὀργῶντος εἰς Κύπριν νεανίου ἀφύλακτος ἡ τήρησις.* Εὐ. — *Γυναικὶ αἰσχρὸν μετ' ἀνδρῶν ἑστάναι νεανιῶν.* Εὐ. *Γυναικὶ ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ.* Εὐ. *Δῶρά τις δίδωσι μοιχῷ γραῦς γυνή.* Ἀρ.

Δεινὸν ἦν προέσθαι δυστυχοῦντας ἀνθρώπους πολίτας. Δη. *Βούλοιο ἂν ἐμὲ μᾶλλον τὸ ἀργύριον λαβεῖν ἢ τὸν μέτοικον ἄνθρωπον.* Δη. *Ἀγανακτῶ, εἰ διὰ πόρνην καὶ δούλην ἄνθρωπον περὶ τῶν μεγίστων εἰς κίνδυνον καθέστηκα.* Λυ. *Προσέρχεταί μοί τις πρεσβῦτις ἄνθρωπος.* Λυ. — *Ἡ ἀριθμητικὴ διδάσκει ἡμᾶς ὅσα ἐστὶ τὰ τοῦ ἀριθμοῦ καὶ ὁ ἀριθμητικὸς ἄνθρωπος.* Πλ. (*Τούτω ἐστὸν παμμάχω, οὐ κατὰ τὼ Ἀχαρνᾶνε τὼ παγκρατιαστὰ ἀδελφώ.* Πλ.)

A. 2. Ueber (ὁ) *Εὐφράτης ποταμός* u. ἄ. § 50, 7 A. 1—7.

[A. 3. Hieher gehören als Schimpfnamen *ὄλεθρος Μακεδών* Dem. 9, 31, ὅ. *γραμματεύς* 18, 127, *γέροντες ὄλεθροι* Ar. Lyſ. 325. Vereinzelt finden ſich eben ſo *ὀπισθοφύλακες ὁπλῖται, λοχαγοί* Xen. An. 4, 1, 6. 7, 8: ſogar *λοχαγοὶ πελτασταί* und *γυμνῆτες ταξίαρχοι* 4, 1, 26. 28. Dergleichen Subſtantive (auch die A. 1) waren urſprünglich Adjective und daher findet man auch nicht nur *λόχοι φύλακες* Xen. An. 6, 3, 9, *ὁπλίτης στρατός, κόσμος* Eur. Herakl. 699. 800, *ὄχλος γυμνής* Rheſ. 312, wohl auch *ὅμιλος στρατιώτης* Thuc. 6, 24, *ναύτης ὅμιλος* Eur. Hek. 920, ſondern ſogar *οἰκέτης βίος* Eur. Jon 1373, *γέρων ὀφθαλμός* Eur. Or. 529, *νεανίας πόνος* Hel. 209, *νεανίαι λόγοι* Alc. 679, *παρθένος χείρ, ψυχή* Phön. 838, Hipp. 1006, *πρυμνήτης κάλως* Med. 770, *λόγος ἔπαινος* Plat. Phädr. 260, b, *δραπέται πόδες* Aeſch. 3, 152. Doch iſt dergleichen in der guten Proſa im Allgemeinen ſehr ſelten.

A. 4. Die Völkernamen ſtehen oft völlig adjectiviſch, regelmäßig bei perſönlichen Subſtantiven *Οἱ Ἕλληνες πελτασταὶ ἔθεον ἐπὶ τοὺς πολεμίους.* Xe. [Ueber *Ἕλλην* als Fe. u. *Ἑλλάς* als Masc. Pflugk zu Eur. Her. 131 u. Herm. zu Jph. T. 334.]

2. Am gewöhnlichſten iſt das Attribut eines Subſtantivs ein Adjectiv oder Particip, ein Adverbium oder eine Präpoſition mit ihrem Caſus.

A. 1. Vorangeſtellt wird von beiden Begriffen der betontere, mag der Artikel hinzutreten oder nicht. vgl. § 50, 8 A. 1. *Μικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.* Εὐ. *Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικράς, ἔπειτα δ' ὕστερον λύπας μακράς.* Γν. *Οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.* Αἰσ.

A. 2. Ueber attributiv gebrauchte Adverbia, Präpoſitionen mit ihren Caſus und Sätze § 50, 8 A. 8—20 vgl. 6 A. 9; über den Ge. § 47, 9 A. 9 u. § 50 8 A. 11; über den Da. § 50, 8 A. 12; über *ὅλος, πᾶς* ꝛc. § 50, 11 A. 7 ꝛc.; über *αὐτός, ὅδε* ꝛc. eb. A. 15, 19 ꝛc.

A. 3. Ein Epitheton kann mit ſeinem Subſtantiv zu einem Geſammtbegriffe verſchmelzen und dieſem ein anderes Epitheton beigefügt werden. *Γέρων ἐραστὴς ἐσχάτη κακὴ τύχη.* Γν. *Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.* Φιλ. — *Περὶ ἀνθρώπου ὑφάντου πρεσβύτου λέγει.* Πλ. *Τί πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ;* Πλ. — *Ἄλλη μία μόνη δουλεία ἐκούσιος λείπεται οὐκ ἐπονείδιστος· αὕτη δέ ἐστιν ἡ περὶ τὴν ἀρετήν.* Πλ. Ueber *πολλὰ καὶ δεινὰ πράγματα* u. ἄ. § 69, 32 A. 3.

A. 4. In andern Verbindungen werden mehrere Adjectiva bloß als Aſyndeta an einander gereiht. *Οἱ Μοσσύνοικοι ἄλλα δόρατα εἶχον παχέα, μακρά, ὅσα ἀνὴρ ἂν φέροι μόλις.* Xe. Vgl. § 59, 1 A. 1.

(A. 5. Außerdem kann von zwei Adjectiven eins prädicativ stehen, in eben dem Sinne den es bei hinzugefügtem ὤν haben würde. *Πένης οὐδὲν εὐγενὴς ἀνήρ. Εὐ. Τίς ἄμοχθος εὐκλεής; Εὐ. (Οὐδεὶς ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ. Εὐ.) Ῥᾴθυμος ἂν ᾖς, πλούσιος πένης ἔσῃ. Μέ.*)

A. 6. Ueber die Verbindung mehrerer Participia ohne *καί* § 56, 15 A. 1—6.

II. Prädicative Verbindung.

3. Prädicativ kann ein Substantiv oder Adjectiv, auch ohne eintretendes Prädicatsverbum, an ein Nomen, selbst an ein bloß im Verbum enthaltenes, angefügt werden, wo wir meist als, zu, für hinzusetzen. Vgl. § 55, 4 A. 4. *Μὴ ὡς θεῷ νομίζετε Φιλίππῳ τὰ παρόντα πεπηγέναι πράγματα ἀθάνατα. Δη. — Κλέων ᾑρέθη κατάσκοπος. Θ. Ἵπποι ἤγοντο θύματα τῷ ἡλίῳ. Ξε. — Τίνος διδάσκαλοι ἥκετε; Πλ. — Πολλὰ τάδ' ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ. Σο. Ἔφη αὐτὰς (τὰς ναῦς) ἐλάσσους ἢ βασιλεὺς ἔταξε ξυλλεγῆναι. Θ.* Vgl. § 50, 11 A. 1.

A. 1. Ein solches Prädicat erscheint auch als obliquer Casus; wenn es ein Substantiv ist, am häufigsten als Accusativ: obliques Prädicat. *Δίκαιος ἂν ᾖς, τῷ τρόπῳ χρήσει νόμῳ. Μέ. Δίκαια δράσας συμμάχου τεύξει θεοῦ [συμμάχῳ χρήσει θεῷ]. Γν. Δίκαια δράσας συμμάχους ἕξεις θεούς. Μέ. Πένητας οὐδεὶς βούλεται κἄσθαι φίλους. Εὐ. Ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα. Εὐ. Ὅστις λόγους παρακαταθήκην λαβὼν ἐξεῖπεν ἄδικός ἐστιν ἢ ἀκράτης ἄγαν. Ἰν. — Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ. Γν. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. Ἰσ. Πῶς οὐκ ἄτοπον τοὺς προεστῶτας τῶν Ἑλλήνων ἕνα ἄνδρα τοσούτων ἀνθρώπων καθιστάναι δεσπότην; Ἰσ. Στρατευόμεθ' αἱρούμενοι καθάρματα στρατηγούς. Εὔπολις. Οἱ διδάσκαλοι τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν ἀποδεικνύουσιν. Ξε. — Ἔφασκεν ὄνειδος ἐξελθεῖν ταύτην τὴν στρατιὰν τῇ πόλει. Δη. Ἔφη τὸν Σόλωνα ἀναχεῖσθαι τῆς τῶν τότε δημηγορούντων σωφροσύνης παράδειγμα. Δη.*

A. 2. Wenn ὡς hinzutritt, wie öfter bei *χρῆσθαι*, so ist es vergleichend: pro, so wie, nicht anders als. *Ἐπίστανται οἱ κρείττονες τοῖς ἥττοσιν ὡς δούλοις χρῆσθαι. Ξε. Ἀλκιδάμας οὐχ ἡδύσματι χρῆται ἀλλ ὡς ἐδέσματι τοῖς ἐπιθέτοις. Ἀρλ.* So auch ὥσπερ Xen. Dek. 14, 9.]

A. 3. Das oblique Prädicat kann auch ein Adjectiv oder Participp sein. Vgl. über die Stellung beim Artikel § 50, 11 A. 1. Hieher gehört auch *ἱστάναι τινὰ χαλκοῦν* u. ä. Jemanden eine eherne Bildsäule errichten. *Δύστηνος ὅστις καὶ τὰ καλὰ ψευδῆ λέγων οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν. Εὐ. Ἐνόμιζεν ὅσῳ ἂν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρασκευαστοτέρῳ βασιλεῖ μαχεῖσθαι. Ξε. — Τῆς τύχης εὐδαίμονος τύχοιτε. Εὐ. Ὅταν ἀκούω ἀνδρὸς περὶ ἀρετῆς διαλεγομένου, χαίρω ὑπερφυῶς. Πλ. — Τὰς πρὶν φρένας οὐκ*

εἶχες ὑγιεῖς. Εὐ. Οὔ τοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί. Εὐ. Τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς. Ἰσ. Τὰς ὁμιλίας ἐσθλὰς διώκειν ὦ νέοι σπουδάζετε. Εὐ. Τἀληθὲς ἰσχυρὸν τρέφω. Εὐ. Τὸν τῇ φύσει οἰκεῖον οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ. Γν. Τοὺς στρατηγοὺς ὀλίγους χρὴ ἑλέσθαι. Θ. Ὁ Ἅιδης τοὺς νόμους ἴσους ποθεῖ. Σο. Ἔξεστι τοῖς ἐφόροις ἀκρίτους ἀποκτεῖναι τοσούτους ὁπόσους ἂν βουληθῶσιν. Ἰσ. — Φίλιππον θαυμάζουσι καὶ χαλκοῦν ἱστᾶσι. Δη. (Σφυρήλατος ἐν Ὀλυμπίᾳ στάθητι. Πλ.)

A. 4. Das oblique Prädicat erscheint auch in Verbindung mit Präpositionen. Τὸ ὑπὸ τῶν ὁμοίων ἐχόντων θαυμάζεσθαι τοῦ παρὰ τοῦ δεσπότου λαμβάνειν ὁτιοῦν κρεῖττον εἶναι δοκεῖ. Δη. Διεχειμάσατε ἐν ἀφθόνοις τοῖς ἐπιτηδείοις. Ξε. Νόμους ἔθεσθε ἐπ' ἀδήλοις μὲν τοῖς ἀδικήσουσι, ἀδήλοις δὲ τοῖς ἀδικησομένοις. Δη.

A. 5. Als Prädicat, gew. als obliques, erscheinen auch demonstrative, relative und interrogative Pronomina. Σὺ οὗτος εὑρέθης. Δη. — Πάσχουσι τοῦτο ταὐτὸν ταῖς τικτούσαις. Πλ. Τὰς ἐλπίδας ἔχω τοιαύτας. Ἰσ. Τοὺς περὶ πραγμάτων ἀνομοίων τοῖς ἄλλοις ἀγωνιζομένους ἀναγκαῖόν ἐστι καὶ τοῖς λόγοις τοιούτοις χρῆσθαι. Ἰσ. Θησεὺς καὶ Ἡρακλῆς οὐ μόνον τοῖς ὅπλοις ἐκοσμήσαντο παραπλησίοις, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν ἐχρήσαντο τοῖς αὐτοῖς. Ἰσ. — Παράδειγμα ποιήσατε τοῖς βουλομένοις τὴν πόλιν εὖ ποιεῖν οἵων ὑμῶν ἐν τοῖς κινδύνοις τεύξονται. Λυ. Οὐκ ἤδει οἵοις θηρίοις ἐπλησίαζε τοῖς ἀνθρώποις τούτοις. Δη. (Ἐπίσταθε περὶ οἵου τινὸς ὄντος ἐμοῦ ψηφιεῖσθε. Λυ.) Οὐδὲν ἐδήλουν ὁποῖόν τι τὸ μέλλον ποιήσουσιν. Θ. Ὦ φίλταθ' ὅσ' ἡμῖν τἀγαθὰ δέδρακας εἰρήνην ποιήσας. Ἀρ. — Τί ἔχοντες δίκαιον ἢ τί τὸ ἰσχυρὸν ἀντιδικήσομεν; Δη. — Ποῖ λέγεις καὶ παρὰ τίνας τοὺς ὑμᾶς; Πλ. Ueber den Artikel § 50, 11 A. 1.

A. 6. Wenn ein interrogatives Pronomen einem demonstrativen als Prädicat angefügt ist, so müssen wir, (wie auch bei manchen der A. 5 angeführten Stellen), den einen Satz oft durch zwei übersetzen: τίς οὗτος ἔρχεται wer ist dieser der ankommt? τί τοῦτο λέγεις was ist dies was du sagst? oder was willst du damit sagen? Τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷς κεῖσθαι; Εὐ. — Τί τοῦτο εἰρῆσθαι φῶμεν; Πλ. — Τί τοῦτ' ἔλεξας; Εὐ. Τί ἀδικοῦμεν τοῦτό σε; Ἀρ. Τίνας τούσδ' εἰσορῶ; Εὐ. — Ποῖα ταῦτα λέγεις; Πλ.

A. 7. Zu einem demonstrativen Pronomen, wie ὅδε, οὗτος, kann auch ein Substantiv oder Adjectiv als Prädicat hinzutreten. vgl. A. 1. Οἵαν ἔχιδναν τήνδ' ἔφυσας. Εὐ. Ἐρώτημα τοῦτ' ἐρωτᾷς ἢ λόγου τινὸς ἀρχὴν λέγεις; Πλ. Οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραννοι οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται. Πλ. Οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς; Πλ. Τοῦτο παντελῶς εὖ ἠθες ᾠήθης. Δη.

4. Als Prädicat kann so auch ein Nomen angefügt werden das erst in Folge der Handlung des Verbums als Prädicat eintritt: proleptisches Prädicat.

A. 1. Nur in einigen Verbindungen ist das proleptische Prädicat ein Substantiv, wie bei uns in der gemeinen Sprache: er lernt Kaufmann. Ἔλαχον βασιλεύς, ὥσπερ προεκρίθην. Δη. Περικλῆς τοὺς

νίεῖς ἱππέας ἐδίδαξεν οὐδενὸς χείρους Ἀθηναίων. Πλ. [*Σωκράτης παῖς ὢν ἐμάνθανε λιθοξόος τὴν τοῦ πατρὸς τέχνην.* Dion. Chryſ. 55 p. 283 R.]

A. 2. Von Adjectiven erſcheinen als proleptiſche Prädicate *μέγας, ὑψηλός, μακρός* u. ä. bei *αὔξειν, αἴρειν* u. ä. Verben. *Ἄλλως αὐτὸν αἰχμάλωτον εἵλομεν. Εὐ. — Ἆρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ. Ἀρ. Ἀὴρ ἔχει τὴν γῆν μετέωρον. Ἀρ. Ὁ δεσπότης μου μετέωρος αἴρεται. Ἀρ. — Ἕνα τινὰ ἀεὶ ὁ δῆμος εἴωθε διαφερόντως προίστασθαι ἑαυτοῦ καὶ τοῦτον τρέφειν τε καὶ αὔξειν μέγαν. Πλ. Μέγας ἐκ μικροῦ ὁ Φίλιππος ηὔξηται. Λη. Ὑψηλὸν ἐξαίρει αὐτόν. Πλ. Ἤιρετο τὸ ὕψος τοῦ τείχους μέγα. Θ. Τοὺς λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν. Θ. — Πενία διδάσκει ἄνδρα τῇ χρείᾳ κακόν. Εὐ. Μουσικὸν Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν. Εὐ. — Δεῖ τὰ ἐπίθετα καὶ τὰς μεταφορὰς ἁρμοττούσας λέγειν. Ἀρλ.*

(A. 3. Auch eine bevorſtehende Beſtimmung kann das proleptiſche Prädicat ausdrücken. *Τὰς βαλάνους τραγήματα ἀπετίθεσαν. Ξε. Νῆες ἑξήκοντα παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροί. Θ.*)

5. Ein Prädicat wird oft einem andern, am häufigſten einem Verbum, d. h. eig. dem Particip, angefügt: adverbartiges Prädicat. Gewöhnlich erſcheinen ſo nur Adjective.

A. 1. So finden ſich z. B. *μέγας* und *πολύς* bei *ῥέω* und *πνέω* ſowohl in eigentlicher als uneigentlicher Bedeutung. [*Ζεὺς χρυσὸς ῥυεὶς Δανάῃ συνεγένετο. Ἰσ.*] *Ὁ Ἀσωπὸς ποταμὸς ἐῤῥύη μέγας. Θ. Ὁ ἄνεμος ἐκπνεῖ μέγας. Θ. — Ἔστι κρήνη ἡδέος ὕδατος καὶ ἄφθονος ῥέουσα. Ξε. Κύπρις οὐ φορητόν, ἢν πολλὴ ῥυῇ. Εὐ. Τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐκ εἶξα. Δη. Ὁ ὄχλος πλείων καὶ πλείων ἐπέῤῥει. Ξε. Πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται. Δη.*

A. 2. Aehnlich gebrauchte man *ἄσμενος, ἑκών, ἑκούσιος, ἐθελούσιος* u. a; ja ſelbſt Participia, wie *ἐθέλων*, z. B. *οἱ ἐθέλοντες εἰς κινδύνους καθιστάμενοι* (*Ανδ.*), dieſe aber nicht bei Subſtantiven, alſo z. B. nur *ἐθελονταὶ φίλοι*. Ueber die Stellung beim Artikel § 50, 12 A. 1. 4. [*Ἡσυχος* Xen. An. 6, 3, 11 u. Cyr. 5, 3, 55 bedarf für die Proſa noch zureichenderer Begründung; dichteriſche Stellen bei Elmsley zu Eur. Her. 7.] *Ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ὑμῖν ἐκπλεῖν. Θ. Ἄσμένοις ἐγίγνετο τοῖς σώφροσι τῶν ἀνθρώπων. Θ. Κακὸς ἑκὼν οὐδείς. Πλ. Ὁ κακὸς ἄκων τοιοῦτος. Πλ. Ἄκων ἁμαρτὼν οὐδεὶς ἀνθρώπων κακός. Σο. Τας πόλεις ἑκούσας παρέλαβε. Ξε. Σκέψασθε εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προσθήσετε. Θ. — Λέγουσί τινες ἑκούσιον φαρμάκῳ ἀποθανεῖν Θεμιστοκλέα. Θ. Ὁ Νικίας ἀκούσιος ᾑρημένος ἄρχειν ἀποτρέψαι ἐβούλετο. Θ. — Τὸ μὴ φεύγειν τοὺς πόνους, ἀλλὰ ἐθελοντὴν ὑπομένειν τῷ ἄρχειν παιδευομένῳ ἂν προσθείημεν. Ξε. Προθύμως ἐξωρμῶντο, ἅτε οὐκ ἀνάγκῃ, ἀλλ' ἐθελούσιοι καὶ χάριτος ἕνεκα ἐξιόντες. Ξε. Τοὺς ἐμοὶ ἐθελουσίους τούτους ἑπισπομένους ἀμέμπτους πάντας ποιεῖτε. Ξε. — Οἱ φιλόσοφοι αὐτόματοι ἐμφύονται. Πλ. Ὁ ἐλεύθερος ἑπαινῶν καὶ μὴ μάλιστά ἐστι καταφανής. Πλ. — Ἐθέλων ἕπεται. Ξε. Ἡ γῆ θέλουσα τοὺς δυναμένους καταμανθάνειν καὶ δικαιοσύνην διδάσκει. Ξε.*

Τῷ σφενδονᾶν ἐντεταγμένῳ ἐθέλοντι ἄλλην τινὰ ἀτέλειαν εὑρίσκωμεν. Ξε. — (Χρῆν Μυτιληναίους μηδὲν διαφέροντας τῶν ἄλλων ὑφ' ὑμῶν τετιμῆσθαι. Θ. Οἴεται τραγῳδίαν εἶναι τὴν τούτων σύστασιν, πρέπουσαν ἀλλήλοις τε καὶ τῷ ὅλῳ συνισταμένην. Πλ.)

A. 3. Ordinale Adjective, wie *πρότερος, πρῶτος, ὕστερος, ὕστατος*, bezeichnen prädicativ angefügt die Ordnung in der dieſelbe Handlung unter mehrern Begriffen dem erwähnten zukommt, während die entſprechenden Adverbia, *πρότερον, πρῶτον, ὕστερον* (vgl. § 46, 3 A. 2) die Ordnung beſtimmen in der unter mehrern Handlungen deſſelben Subjects die erwähnte erfolgt iſt: *πρῶτος Μηθύμνῃ προσέβαλε* er war der erſte der M. angriff; *πρώτη M. πρ. M.* war der erſte Ort den er angriff; *πρῶτον M. πρ.* ſeine (oder überhaupt die) erſte Handlung war der Angriff auf M. Ueber die Stellung bei hinzutretendem Artikel § 50, 11 A. 1 u. 12 A. 1. 4; über *πρῶτον* und *τὸ πρῶτον* § 46, 3 A. 2. Aehnlich unterſcheide man *μόνος* und *μόνον* wiewohl zuweilen *μόνον* erſcheint wo man *μόνος* erwarten möchte. *Σπονδὰς λύουσιν οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ πρότεροι ἐπιόντες. Θ. Ἐξῆν αὐτοῖς προτέροις διαβᾶσι τῶν ἐθνῶν ἕκαστον χειροῦσθαι. Ἰσ. Καλόν ἐστιν ἐν ταῖς τῶν ἄλλων ἀδικίαις καὶ μανίαις πρώτους εὖ φρονήσαντας προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας. Ἰσ. Λακεδαιμόνιοι ὕστεροι ἀφίκοντο τῆς ἐν Μαραθῶνι μάχης γενομένης μιᾷ ἡμέρᾳ. Πλ. Τοὺς αὐτῶν νόμους ἀρέσκειν ἑκάστοις ἀναγκαῖον που, τοὺς δὲ τῶν ἄλλων ὑστέρους. Πλ. Χαλεπόν ἐστιν ὕστατον ἐπελθόντα λέγειν. Ἰσ. Οὐ τοὺς αἰτίους, ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε. Δη. Ὡς ἐπὶ τὸ πολὺ οἱ τελευταῖοι κρινόμενοι σώζονται. Λυ. — Ἡ ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν μόνη καὶ ἥδεσθαι ποιεῖ. Ξε. Τῶν ὄντων ᾧ νοῦν μόνῳ κτᾶσθαι προσήκει λεκτέον ψυχήν. Πλ. Μὴ θανών ποτε σοῦ χωρὶς εἴην τῆς μόνης πιστῆς ἐμοί. Εὐ. Οἱ τύραννοι Ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τὴν πόλιν αὐτῶν καλῶς διεκόσμησαν. Θ. Περιέμενον Παναθήναια τὰ μεγάλα, ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ ὕποπτον ἐγίγνετο ἐν ὅπλοις ἀθρόους γενέσθαι. Θ.*

A. 4. Aehnlich werden beſonders mit Verben der Bewegung temporale Adjectiva verbunden, wie *ὄρθριος, δευτεραῖος, τριταῖος* ꝛc. *ἀφίκετο* er kam in der Frühe, am zweiten, dritten ꝛc. Tage an vgl. § 24, 3 A. 7. Ebenſo finden ſich *αἰφνίδιος, χρόνιος* u. a., einzeln auch locale Adverbia; desgleichen *ὑπόσπονδος. Ἑσπέρας ἀκούσας ὄρθριος ἥκεις. Πλ. Κατέβαινον εἰς τὰς κώμας ἤδη σκοταῖοι. Ξε. Δευτεραῖοι ἀμφὶ δείλην γίγνονται πρὸς τῷ Γωβρύου χωρίῳ. Ξε. (Ἄγις ἑβδομαῖος ἀφ' οὗ ἔκαμεν ἐτελεύτα. Ξε. Ἀπὸ ταύτης τῆς ἡμέρας πεμπταῖα λογίζομαι τὰ παρ' ὑμῶν ἐν τοῖς Φωκεῦσι γενέσθαι. Δη.) Ποσταῖος ἂν τῷ στρατεύματι ἐκεῖσε ἀφικοίμην; Ξε. — Σχολαῖοι ἐκομίσθησαν. Θ. Ἀφικνοῦνται αἰφνίδιοι. Θ. Χρόνιοι ξυνιόντες τὰ οἰκεῖα πράσσουσιν. Θ. — Ὑπαίθριος ἐταλαιπώρει. Θ. Ἱππίας ἐχώρει ὑπόσπονδος εἰς Σίγειον. Θ. Τοὺς ἄνδρας διεκόμισαν (ἀπέδοσαν) ὑποσπόνδους. Θ.*

III. Appoſitive Verbindung.

6. Appoſitiv verbinden ſich Begriffe auf mehrere, z. Th. ſehr verſchiedene Arten; am innigſten durch ſynthetiſche Ap-

position, bei der zwei Begriffe, z. B. ein Eigenname mit dem Gattungsbegriffe desselben, verbunden gleichsam ein Compositum bilden. So namentlich in Verbindung mit dem Artikel. S. § 50, 7 und die A. 1 — 6. *Προσῆλθον ἡμῖν πέρυσι τοῦ μεταγειτνιῶνος μηνὸς. Δη.*

7. Weniger innig ist die epithetische Apposition die der attributiven Verbindung (§ 50, 8 A. 1) entspricht, auch mit Bezug auf Gebrauch und Stellung des Artikels mit ihr übereinstimmend (§ 50, 7 A. 8 — 12), und besonders rücksichtlich der Eigennamen zu bemerken ist.

A. Mehr scheiden sich die Begriffe wenn sie beide ihren Artikel haben, besonders wenn die (dann betontere) Apposition vorangeht. *Ἡ Φυλομάχη ἡ μήτηρ ἡ Εὐβουλίδου καὶ ὁ Πολέμων ὁ πατὴρ ὁ Ἀγνίου ἀδελφοὶ ἦσαν. Δη. Ὁ ἀδελφὸς ὁ Ἀρεθούσιος οὐδένα εἶα ὠνεῖσθαι. Δη. — Τὸν μιαρὸν καὶ ἀναιδῆ φυλάξομεν τὸν Φιλοκράτη. Δη. Τὴν πεντετηρίδα τότε πρῶτον ἐποίησαν οἱ Ἀθηναῖοι τὰ Δήλια. Θ.*

8. An die epithetische schließt sich die partitive Apposition an. vgl. § 47, 28 A. 3.

A. Genauer sind hier zwei Arten zu unterscheiden: die distributive, durch die dem Ganzen seine Theilbegriffe gegensätzlich angeschlossen werden; und die adjunctive, durch die dem Ganzen Ein, meist numerischer Begriff angefügt wird. Als solcher kann auch ein collectiver Singular sich mit einem Plural verbinden, und dabei selbst, in sofern die Apposition näher steht und übergewichtlich ist, das Verbum im Singular stehen. Vgl. § 47, 28 A. 3 und 63, 1 A. 3. *Λῦπαι αἱ μὲν χρηστοί εἰσιν, αἱ δὲ κακαί. Πλ. — Ἡγοῦμαι τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς σφόδρα ὀλίγους εἶναι ἑκατέρους, τοὺς δὲ μεταξὺ πλείστους. Πλ. Οἱ ἐκπίπτοντες παρ' Ἀθηναίους οἱ δυνατώτατοι ἀνεχώρουν. Θ. — Πᾶσι τοῖς εὐνομουμένοις ἔργον τι ἑκάστῳ ἐν τῇ πόλει προστέτακται. Πλ. — Αἱ τέχναι τὸ αὑτῆς ἑκάστη ἔργον ἐργάζεται καὶ ὠφελεῖ ἐκεῖνο ἐφ' ᾧ τέτακται. Πλ. Οὗτοι ἄλλος ἄλλα λέγει. Ξε. — Οἱ ἱππεῖς ἔρημοι οἴχονταί μοι ἄλλος ἀλλαχῇ διώκων. Ξε,*

9. Die gewöhnlichste und selbstständigste ist die parathetische Apposition, die, wenn sie ohne Artikel eintritt, einem relativen Nebensatze (ὅς — ἐστίν) gleich gilt. *Πολλοὺς ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν ἥ τ' ἀξυνεσία, δύο κακὼ τοῖς χρωμένοις. Εὐ. Τὸ σῶμα δεινὰ καὶ ἀναγκαῖα ἐν ἑαυτῷ παθήματα ἔχει, πρῶτον μὲν ἡδονήν, μέγιστον κακοῦ δέλεαρ, ἔπειτα λύπας, ἀγαθῶν φυγάς, ἔτι δ' αὖ θάρρος καὶ φόβον, ἄφρονε ξυμβούλω. Πλ. Κόλακι, δεινῷ θηρίῳ καὶ μεγίστῃ βλάβῃ, ὅμως ἐπέμιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον. Πλ. — Ἡ ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, νῦν οὐκέτι περὶ τῆς ἡγεμονίας ἀγωνίζεται. Αἰ. Τὰ ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον,*

τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν. Αἰ.

A. 1. Es iſt nicht nöthig, daß die Appoſition ihrem Nomen unmittelbar folge oder unmittelbar vorangehe. vgl. 10, 7 A. Οὐκ ἔστι πενίας ἱερόν, αἰσχίστης θεοῦ. Γν. Ἀλήθεια παρέστω σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον. Γν. Οὐκ αἰσχρὸν οἰκείους οἰκείων ἡσσᾶσθαι, ἢ Δωριέα τινὰ Δωριέως ἢ Χαλκιδέα τῶν ξυγγενῶν. Θ. Σιγᾶν καὶ σωφρονεῖν αὖ φησι χρῆναι, δύο κάκω μεγίστω. Ἀρ.

A. 2. Wenn eine Präpoſition hinzutritt, ſo pflegt ſie bei dieſer Appoſition nicht wiederholt zu ſtehen. Χωρῶμεν ἤδη παῖδες ἐς τὰ τῶν σοφῶν διδασκαλεῖα, μουσικῆς παιδεύματα. Σο. Περὶ χρημάτων λαλεῖς, ἀβεβαίου πράγματος. Μέ. Ἐκ λόγων, κουφοῦ πράγματος, ἔργῳ μίση καὶ ἔχθραι βαρύταται γίγνονται. Πλ. (Ἐν τῷ Ἀρείῳ πάγῳ, ἐν τῷ σεμνοτάτῳ δικαστηρίῳ, ὁμολογῶν ἀδικεῖν ἀποθνήσκει. Λυ.)

A. 3. Faſt epitheticſch iſt die parathetiſche Appoſition, wenn ſie, übergewichtlich betont, ihrem Begriffe vorangeht; ein Verhältniß bei dem z. Th. auch ein Uebergang zu dem N. 10 erwähnten eintritt. Ὃ ἄν τις ἐχὼν ἐχόντι ὁμολογήσῃ φασὶν οἱ πόλεως βασιλῆς νόμοι δίκαια εἶναι. Πλ. Ὦ Ζεῦ τί δὴ κίβδηλον ἀνθρώποις κακόν, γυναῖκας ἐς φῶς ἡλίου κατῴκισας. Εὐ. — Ὁ κοινὸς ἰατρός σε θεραπεύσει, χρόνος. Γν. Τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει, πενία. Μέ.

10. Epexegetiſch iſt die Appoſition, wenn ſie einem allgemeinern Begriffe den beſtimmteren zufügt: nämlich. Statt ihrem Begriffe wird ſie zuweilen einem auf denſelben bezogenen Relativ angefügt. Εἰσὶν ἡδοναὶ πολλαὶ βίου, μαχραί τε λέσχαι καὶ σχολή, τερπνὸν κακόν, αἰδώς τε. Εὐ. Ὁ θάνατος τυγχάνει ὢν δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν. Πλ. (Ἄν τις ἀνδρὸς σῶμα τρώσῃ, κεφαλὴν ἢ πρόσωπον ἢ χεῖρας ἢ πόδας, κατὰ τοὺς νόμους φεύξεται τὴν τοῦ ἀδικηθέντος πόλιν. Λυ.) — Ὡς θαυμασίως πέφυκε τὸ ἡδὺ πρὸς τὸ δοκοῦν ἐναντίως ἔχειν, τὸ λυπηρόν. Πλ. Τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας. Πλ. — Ὀρθὴ ἡ παροιμία, τὸ τὰς ἁπάσας μὴ ῥᾴδιον εἶναι διαφυγεῖν. Πλ. Φήμη πλανᾶται καὶ διέγνωσται πάλαι, τὸ μὴ βεβαίους τὰς βροτῶν εἶναι τύχας. Γν. — Οὐδείς ἐστ' ἀτελής, οὐδ' οὕς οὗτος ἔγραψε, τοὺς ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος. Αη. Vgl. Elmsley zu Eur. Her. 601 und Pflugk zur Hek. 771.

† A. 1. Eine ſolche Appoſition haben auch mit Adjectiven, beſonders mit pronominalen, verbundene Subſtantive. Ἓν ἀπέχθημα πάγκοινον βροτοῖς, οἱ περὶ τυράννους καὶ πόλεις ὑπηρέται. Εὐ. Κοινὸν ἀγαθόν ἐστι τοῦτο, χρηστὸς εὐτυχῶν. Μέ. Οὗτος ὁ τρόπος ἦν τῆς τῶν παλαιῶν φιλοσοφίας, βραχυλογία τις Λακωνική. Πλ. Τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. Πλ. — Τοῦτο πῶς οὐκ ἀμαθία αὕτη ἡ ἐπονείδιστος, ἢ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; Πλ. Πολλοῦ μισθοῦνται ἀλλοτρίαν φωνήν, τὴν τῶν αὐλῶν. Πλ.

Μάλα φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν. Πλ. Μένει ἥδε ἡ οἴησις, τὸ ψυχὴν ἁρμονίαν ξυγχεῖσθαι. Πλ. (Τὸ τῆς πόλεως ἦθος ἴδοι τις ἂν τοιοῦτον [,] *ἀψευδὲς καὶ χρηστόν. Δη.)*

A. 2. Eben dieſe Appoſition kann auch bei ſubſtantivirten Adjectiven, beſonders pronominalen, eintreten. Vgl. § 50, 11 A. 21. *Ποτέρῳ εἰκός ἐστι πιστεῖσαι, τῷ διὰ τέλους τὸν αὐτὸν λόγον ἀεὶ λέγοντι ἢ τῷ τοτὲ μὲν φάσκοντι, τοτὲ δ' οὔ; Ἀνι. Περικλῆς δυοῖν ἐγένετο μαθητής, Ἀναξαγόρου τε καὶ Δάμωνος. Ἰσ. — Τούτῳ δαφέρει ἀνὴρ τῶν ἄλλων ζώων, τῷ τιμῆς ὀρέγεσθαι. Ξε. (Ταχὺ ἂν τὸ τοῦ Ἀναξαγόρου γεγονὸς εἴη, ὁμοῦ πάντα χρήματα. Πλ. Ἔγραψαν ταῦτα ἃ δὴ πάντες ὑμνοῦσι, γνῶθι σαυτὸν καὶ μηδὲν ἄγαν. Πλ.)*

A. 3. So erſcheinen denn auch Pronominaladjectiva im Neutrum ſubſtantivirt vor (dinglichen oder doch als dinglich gefaßten) Subſtantiven männlichen und weiblichen Geſchlechts: eben ſo *δύο, τρία* ꝛc. zwei, drei Dinge. *Τί ποτ' ἐστὶν αὐτό, ἡ ἀρετή; Πλ. — Καὶ τοῦτό τοι τἀνδρεῖον, ἡ προμηθία. Εὐ. Τοῦτο ὡς ἀληθῶς ψεῦδος καλεῖται, ἡ ἐν τῇ ψυχῇ ἄγνοια ἡ τοῦ ἐψευσμένου. Πλ. Τοῦτ' ἔσθ' ὃ θνητῶν εὖ πόλεις οἰκουμένας δόμους τ' ἀπόλλυσ', οἳ καλοὶ λίαν λόγοι. Εὐ. — Πᾶσαι ψυχαὶ πεφύκασιν αὐτὸ τοῦτο, ψυχαί, εἶναι. Πλ. Τουτό γε αὐτό, ἡ εὐβουλία, δῆλον ὅτι ἐπιστήμη τίς ἐστιν. Πλ. — Ἐκεῖνο ἰσχύει μέγα, πλοῦτος, λαβών τε τοῦτον εὐγενὴς ἀνήρ. Εὐ. Ἐκεῖνο κερδαίνειν ἡγεῖται, τὴν ἡδονήν. Πλ. — Ἔστιν οὗ ἐπιθυμοῦμεν, φρονήσεως. Πλ. — Ἀμφοτέροις κατεῖχον τοὺς πολίτας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις. Ἰσ. — Δύο ἐστὶ τὰ παιδεύοντα τοὺς νέους, ἥ τε τῶν ἀδικούντων τιμωρία καὶ ἡ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς διδομένη δωρεά. Λυκ. Δύο ἔτι λοιπά, ἥ τε σωφροσύνη καὶ οὗ δὴ ἕνεκα πάντα ζητοῦμεν, δικαιοσύνη. Πλ. — Μὴ τρισὶ τοῖς ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ καὶ ἡδονῇ λόγων καὶ ἐπιεικείᾳ, ἁμαρτάνετε. Θ. (Ὁ Λεπτίνου νόμος τρία τὰ μέγιστα ὀνείδη κτᾶται, φθονερούς, ἀπίστους, ἀχαρίστους εἶναι δοκεῖν. Δη.) — Ὑφ' ὧν κρατεῖσθαι τῇ ψυχῇ αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. Ἰσ.*

A. 4. Die etwa hinzutretende Präpoſition wird bei der epexegetiſchen Appoſition bald wiederholt, bald nicht, letzteres wenn eine engere Verbindung ſtatt findet. *Ἐπὶ τὸ κρεῖσσον τούτου πολύ, τὸ ἐχόντας πείθεσθαι, ἄλλη ἐστὶ συντομωτέρα ὁδός. Ξε. Ὑπὸ ταύτης ἄγονται τῆς ἐλπίδος, τῆς τοῦ ὄψεσθαί τι ἐκεῖ ὧν ἐπεθύμουν. Πλ. Τὸ μέλος ἐκ τριῶν ἐστι συγκείμενον, λόγου τε καὶ ἁρμονίας καὶ ῥυθμοῦ. Πλ. — Ἐκ τούτων οἱ ὀνομαστοὶ γίγνονται, ἐκ τῶν ἐπιτηδευσάντων ἕκασται. Πλ. Αἱ ἐπὶ τούτου πράξεις ἅπασαι, ἐπὶ τοῦ ἀλύπως ζῆν καὶ ἡδέως, ἆρ' οὐ καλαί; Πλ. Ἀσθενῶν μετὰ ποτέρου ἂν ἡδέως κινδυνεύοις, μετὰ σοφοῦ ἰατροῦ ἢ μετ' ἀμαθοῦς; Πλ.*

A. 5. Unſer nämlich wird bei der epexegetiſchen Appoſition, auch wenn als ſolche ein Infinitiv mit oder ohne Artikel eintritt, ſo wenig wie im Lateiniſchen ausgedrückt. Doch erſcheint ſtatt deſſen (nach Subſtantiven) zuweilen *λέγω* ich meine; *λέγω δέ*, wenn es zuerſt ſteht, jedoch, wenigſtens bei Spätern, auch ohne *δέ*. *Ἕτερον ἀπεκτείνατε, Κτησικλέα λέγω. Δη. (Ὦ μῆτερ ἐσθλοῦ παιδός, Ἀλκμήνην λέγω, ἔξελθε. Εὐ. Προσέκρουσ' ἀνθρώπῳ πονηρῷ, Ἀνδροτίωνα λέγω.*

Δη.) — Παρ' ὧν ἂν ἕκαστοι δύνωνται, τούτων τῶν τὴν Ἀσίαν οἰκούντων λέγω, χρήματα λαμβάνουσιν. Δη.

A. 6. Der Infinitiv ohne Artikel erſcheint als No. oder Ac. epexegetiſch da wo er auch ohne Artikel ſtehen würde, wenn das Pronomen dem er ſich anfügt nicht da ſtände, wiewohl auch hier der Artikel oft ſtatthaft, zuweilen nothwendig iſt. So zunächſt nach Subſtantiven die ein pronominales oder qualitatives Adjectiv bei ſich haben. *Βάρος τι καὶ τόδ' ἐστίν, αἰνεῖσθαι λίαν. Εὐ. Αὕτη μόνη ἐστὶ κακὴ πρᾶξις, ἐπιστήμης στερηθῆναι Πλ. Τίς αὕτη τέρψις, ἄκοντας φιλεῖν; Σο. Σκεψώμεθα τὴν αἰληικήν· οὐ δοκεῖ σοι τοιαύτη τις εἶναι, τὴν ἡδονὴν ἡμῶν μόνον διώκειν, ἄλλο δὲ οὐδὲν φροντίζειν; Πλ, — (Δύο ἔφαμεν εἶναι τὰς παρασκευὰς ἐπὶ τὸ ἕκαστον θεραπεύειν καὶ σῶμα καὶ ψυχήν, μίαν μέν, πρὸς ἡδονὴν ὁμιλεῖν, τὴν δὲ ἑτέραν, πρὸς τὸ βέλτιστον. Πλ. Πότερον αἱρεῖ τῶν λόγων, τὴν μάθησιν ἀνάμνησιν εἶναι ἢ ψυχὴν ἁρμονίαν; Πλ. Παισὶν ὑπεῖπον τοῖσδε τοὺς αὐτοὺς λόγους, τιμᾶν πόλιν. Εὐ. —) Ἔστι πενία αὕτη σαφής, τὸ δεόμενόν τινος μὴ ἔχειν χρῆσθαι. Ξε. Εὑρήσομεν ταύτην ἀρχὴν οὖσαν πάντων τῶν κακῶν, τὸ μὴ ἐθέλειν τὰ δίκαια πράττειν ἁπλῶς. Δη. Μία αὕτη σωτηρία καὶ πόλεως καὶ ἔθνους, τὸ προστατῶν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων τυχεῖν. Δείν. — Μανικὸν ἔν νῷ ἔχεις ἐπιχείρημα ἐπιχειρεῖν, διδάσκειν ἃ οὐκ οἶσθα, ἀμελήσας μανθάνειν. Ξε. Δέομαι ὑμῶν δικαίαν δέησιν, ἐξ ἴσου ἡμῶν ἀμφοτέρων ἀκοῦσαι. Δη. — (Οὐ θαῦμ' ἔλεξας, θνητὸν ὄντα δυστυχεῖν. Εὐ.)*

A. 7. Eben ſo ſteht der Infinitiv meiſt ohne Artikel nach ſubſtantivirten Neutren, beſonders von Pronominaladjectiven. Vgl. § 51, 7 A. 4. *Δοκᾶ τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾶν τοῖς ἄλλοις. Ἰσ. Πᾶσι κοινὸν τόδε ἰδίᾳ θ' ἑκάστῳ καὶ πόλει, τὸν μὲν κακὸν κακόν τι πάσχειν, τὸν δὲ χρηστὸν εὐτυχεῖν. Εὐ. Τί δὴ βροτοῖσιν οὐκ ἔστιν τόδε, νέους δὶς εἶναι καὶ γέροντας αὖ πάλιν; Εὐ. Ἔστι τοῦτο, λόγῳ λέγειν τὰ ὄντα τε καὶ μή. Πλ. Κεῖνο τέκνον κάλλιον, ἰσότητα τιμᾶν. Εὐ. Χαλεπόν ἐστιν ὃ μέλλω ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. Ἰσ. — Δεινὸν τόδ' εἶπας, ξενοφονεῖν ἐπήλυδας. Εὐ. Τοῦτ' αὐτὸ χρῄζω, πάντας Ἀργείους μαθεῖν. Εὐ. Ἓν οὐκ ἐπίστασθ' οὐδ' ἐθηράσασθέ πω, φρονεῖν διδάσκειν οἷσιν οὐκ ἔνεστι νοῦς. Εὐ. Ἑνὸς μόνου δεῖ, τάσδε συγχρύψαι τάδε. Εὐ. — Τί ἄλλο πλὴν ὕβρις τάδ' ἐστί, κρείσσω δαιμόνων εἶναι θέλειν; Εὐ. Ἀμφότερα δόξω, καὶ περὶ τὴν φιλοσοφίαν διαφέρειν καὶ κοσμιώτερον βεβιωκέναι τῶν ἄλλων. Ἰσ. — Τοῦτο ἐγὼ παντάπασι διδακτὸν ᾤμην εἶναι, τὸ ἐπιμελῆ ποιῆσαι. Ξε. Αὐτὸ τοῦτό ἐστι χαλεπὸν ἀμαθία, τὸ μὴ ὄντα καλὸν κἀγαθὸν μηδὲ φρόνιμον δοκεῖν αὐτῷ εἶναι ἱκανόν. Πλ.*

(A. 8. Nicht hieher zu ziehen ſind die Stellen an denen ein epexegetiſcher Infinitiv einem andern Infinitiv angefügt iſt. *Τόδ' ἐγώ φημι χρῆναι ποιεῖν, ὡς τάχιστα πειρᾶσθαι ὡς πλεῖστα παραιρεῖν. Ξε. Κινδυνεύουσι τοιοῦτόν τι ποιεῖν οἱ τὴν δίκην φεύγοντες, τὸ ἀλγεινὸν αὐτοῦ καθορᾶν, πρὸς δὲ τὸ ὠφέλιμον τυφλῶς ἔχειν. Πλ. Τὸν μέλλοντα ἔμφρονα κριτὴν ἔσεσθαι δεῖ ταῦτα τρία ἔχειν, ὅ τέ ἐστι πρῶτον γιγνώσκειν, ἔπειτα ὡς ὀρθῶς, ἔπειθ' ὡς εὖ. Πλ.)*

A. 9. Auch nach Adverbien erſcheint der epexegetiſche Infinitiv, beſonders nach *οὕτως*. *Ὑμᾶς ὦ παῖδες οὕτως ἐξ ἀρχῆς ἐπαίδευον,*

τοὺς μὲν γεραιτέρους προτιμᾶν, τῶν δὲ νεωτέρων προτετιμῆσθαι. Ξε. (Ἐνταῦθ' ἀνήρ τίς ἐστιν ἀνδρὸς διάφορος, ἐν τῷ τό, τε κακὸν εὖ φέρειν καὶ τἀγαθόν. Φιλ

[A. 10. Einem Satze kann ein Substantiv mit einer Bestimmung als Apposition angefügt werden, entweder als No. mit Bezug auf das Subject, oder als Ac. wo das Ergebniß der Handlung zu bezeichnen ist. *Κεῖνται πεσόντες, πίστις οὐ σμικρὰ πόλει. Εὐ. Ἐμέθνον, ἱκανὴ πρόφασις εἰς θἀμαρτάνειν. Φιλ. Τὸ λοίσθιον δή, θριγκὸς ἀθλίων κακῶν, δούλη γυνὴ γραῦς Ἑλλάδ' εἰσαφίξομαι. Εὐ. — Οὐ παύσομαι τὰς Χάριτας ταῖς Μούσαις συγκαταμιγνύς, ἡδίστην συζυγίαν. Εὐ. Εὐδαιμονοίης, μισθὸν ἡδίστων λόγων. Εὐ. Οὐ χρὴ ἐπιθυμίας ἐᾶν ἀχολάστους εἶναι καὶ ταύτας πληροῦν, ἀνήνυτον κακόν. Πλ. Τοιοῦτον ἀνθρώποισιν ἡ δυσπραξία, ἧς μήποθ' ὅστις καὶ μέσως εὔνους ἐμοὶ τύχοι, φίλων ἔλεγχον ἀψευδέστατον. Εὐ.*]

A. 11. Häufiger finden sich Substantivirungen ohne Verbum ankündigend vor einem Satze (zuweilen auch eingeschoben), der dann der epexegetischen Apposition entspricht. Gewöhnlich nimmt man solche Substantivirungen als Accusative, vielleicht nur dann mit Recht wenn sie in einer Art von transitivem Verhältnisse zu dem Verbum des Satzes stehen, da sie in manchen Fällen mit dem Subject in Beziehung stehen. Von Pronominaladjectiven gehören hieher *αὐτὸ τοῦτο* gerade so, *ταὐτὸ τοῦτο* eben so (vgl. § 46, 3 A. 3), *δυοῖν θάτερον* eins von beiden, *ἀμφότερον* beides; eben so der Artikel *τό*, z. B. mit einem Ge., wie *τὸ τῶν παιζόντων* wie man im Scherz zu sagen pflegt. *Αὐτὸ τοῦτο, τοὺς φίλους ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν. Εὐ. Ταὐτὸ τοῦτο, ἰδίᾳ διαλυσάμενος οὐδ' εἰσήγαγε τὸν Πολύζηλον. Δη. — Δυοῖν θάτερον, ἢ εὑρήσομεν ἐφ' ὃ ἐρχόμεθα ἢ ἧττον οἰησόμεθα εἰδέναι ὃ μηδαμῇ ἴσμεν. Πλ. Δυοῖν δεῖ θάτερον, ἢ πρωτεύειν ἐν τοῖς Ἕλλησιν ἢ παντάπασιν ἀνηρῆσθαι. Ἰσ. Δυοῖν τἀ ἕτερα, ἢ οὐδαμοῦ ἡμῖν ἢ πάνυ που ὀλιγαχοῦ αἱ ἡσύχιαι πράξεις ἐν τῷ βίῳ καλλίους ἐφάνησαν ἢ αἱ ταχεῖαί τε καὶ ἰσχυραί. Πλ. — Ἀμφότερον οὗτος, εὐτυχεῖ τε καὶ φρονεῖ. Φιλ. Ὁρῶσι τοὺς αὐτοὺς ἀμφότερα, καὶ δικαιοτάτους ὄντας καὶ μεγίστην δύναμιν κεκτημένους. Ἰσ. — Τὸ τῆς παροιμίας, ὁρῶντες οὐχ ὁρῶσι καὶ ἀκούοντες οὐκ ἀκούουσιν. [Δη.] Πῶς ζῇς; Τὸ τῶν παιζόντων, τοῦτο σὺ καὶ ἐμοὶ ἐρεῖς. Πλ.*

A. 12. Am häufigsten erscheinen so als Ankündigung, ein Urtheil über den Inhalt des Satzes aussprechend, Adjective, selten Participia, z. B. *τὸ λεγόμενον* wie man zu sagen pflegt. Vgl. § 46, 3 A. 3. *Κεφάλαιον τῶν εἰρημένων, οἵουσπερ τοὺς ὑφ' ὑμῶν ἀρχομένους οἴεσθε δεῖν περὶ ὑμᾶς εἶναι τοιούτους χρὴ περὶ τὴν ἀρχὴν τὴν ἐμὴν ὑμᾶς γίγνεσθαι. Ἰσ. Τὸ πάντων μέγιστον καὶ κάλλιστον, τὴν μὲν σὴν χώραν αὐξανομένην ὁρᾷς, τὴν δὲ τῶν πολεμίων μειουμένην. Ξε. — Τὸ πάντων ἀνανδρότατον, τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετε. Δη. Τὸ πάντων θαυμαστότατον, ἐπαινοῦσι μὲν ἅπαντες τὰ τοιαῦτα ἐπιτηδεύματα, μιμεῖσθαι δ' αὐτὰ οὐδεμία πόλις ἐθέλει. Ξε. Ἔπειτα τὸ δεινότατον· εἰ καὶ δεδωκότες ἦτε ὡς μάλιστα τὴν προῖκα, ἣν οὐ δεδώκατε, τίς ὁ τούτων αἴτιος; Δη. Τὸ πάντων ἐναντιώτατον αὐτονομίᾳ, καθίστατε δεκαδαρχίας. Ξε. — Τὸ ῥᾷστον τοῖς ἀδικεῖν προηρημένοις, μαρτυρήσει τις αὐτῷ κατ' ἐμοῦ. Δη. Εἰμὶ ἐπὶ τῷ βουλομένῳ, ἄν τε τύπτειν βούληται, ἐάν τε, τὸ ἔσχατον, ἀποκτεῖναι. Πλ. — Τὸ λεγόμενον, τὰ παίδων μαθήματα θαυμασιὸν ἔχει τι μνημεῖον. Πλ. Σχολῇ που, τὸ κατὰ τὴν παροιμίαν λεγόμενον, ὅ γε τοιοῦτος ἄν*

ποτε ἕλοι πόλιν. Πλ. (Ὦ ἑταῖρε, μεταξὺ τῶν λόγων, ἆρ' οὐ τόδε ἦν τὸ δένδρον ἐφ' ὅπερ ἦγες ἡμᾶς; Πλ)

A. 13. Aehnlich finden sich auch Substantive, selbst ohne ein Adjectiv σημεῖον, τεκμήριον, meist mit δέ: zum Beweise dient der Umstand daß —. Ἀδολεσχεῖν δοκῶ καὶ ἀερομετρεῖν καὶ τὸ πάντων δὴ ἀνοητότατον δοκοῦν εἶναι ἔγκλημα, πένης καλοῦμαι Ξε. Τὸ δὴ σχετλιώτατον καὶ μέγιστον ἔμοιγε δοκοῦν ὕβρεως εἶναι σημεῖον, τοσούτων ἀνθρώπων σὺ παρελθὼν καιηγορεῖς. Δη. — Οὐκ ἀπέχρη, σημεῖον δέ, ἔθεσθε ἱερὸν νόμον. Δη. Τὰ ὄρνεα διεφθείρετο· τεκμήριον δέ, τῶν ὀρνίθων ἐπίλειψις σαφὴς ἐγένετο. Θ.

A. 14. Gewöhnlicher tritt nach diesen Ausdrücken (A. 13) γάρ ein, das auch nach denen A. 12 nicht selten folgt, so daß sie dann als Satz zu fassen sind: Beweis ist folgendes: nämlich — Ἀθηναῖοι περὶ χρησιῆς δόξης μᾶλλον ἐσπούδαζον ἢ περὶ χρημάτων. τεκμήριον δέ· χρήματα γὰρ πλεῖστα ὑπὲρ φιλοτιμίας ἀνήλωσαν. Δη. Οὐδὲν ἐπίστευον ἐκεῖνοι· σημεῖον δέ· οὐ γὰρ ἂν δεῦρ' ἦκον ὡς ἡμᾶς. Δη. — Τῆς Κλεισθένους πολιτείας οὐκ ἂν εὕροιμεν μᾶλλον συμφέρουσαν· τεκμήριον δὲ μέγιστον· οἱ γὰρ ἐκείνῃ χρώμενοι παρ' ἐκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἔλαβον. Ἰσ. Τὸ ἐν τοῖς πρεσβύτατον εἶναι τὸν θεὸν τίμιον. τεκμήριον δὲ τούτου· γονῆς γὰρ Ἔρωτος οὐκ εἰσίν. Πλ. — Ἐβούλοντο τοὺς ἀμείνους τὰ ἄξια ἔχειν. τεκμήριον δὲ ὡς οὐ πολεμίως ἔπρασσον· οὐ γὰρ ἠδίκησαν οὐδένα. Θ.

Κεφάλαιον τοῦ καλῶς ἀλλήλοις ὁμιλεῖν· αἱ γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν. Ἰσ. Τὸ δὲ πάντων μέγιστον καὶ γνωριμώτατον ὑμῖν· ὁ γὰρ τοῦ Σόλωνος νόμος οὐδὲ διαθέσθαι τὸν ποιητὸν ἐᾷ τὰ ἐν τῷ οἴκῳ, ὅταν ποιηθῇ. Δη. Αὐτὸ τὸ ἐναντιώτατον· αὕτη γὰρ ἡ εἰρήνη τὸν δῆμον τὸν Ἀθηναίων ὑψηλὸν ἦρεν. Ἀνδ. Τὸ ἐχόμενον· στρατόπεδον γὰρ ἔτη δέκα κατέσχεν. Ἰσ.

A. 15. Nach Substantivirungen der Art findet sich auch ὅτι. Τὸ μέγιστον, ὅτι τῶν ἐξ αὐτοῦ γεγονότων οὐδένα κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον. Ἰσ. Τὸ ἔσχατον πάντων, ὅτι παντὸς παραπῖπτον τὸ σῶμα θόρυβον παρέχει. Πλ.

A. 16. Ein Adjectiv der Art kann aber auch durch das Relativ eingeführt werden, sowohl wenn ein selbstständiger Satz, als wenn γάρ oder ὅτι darauf folgt. S. § 51, 13 A. 13.

§ 58. Nominale Congruenz.

1. Der höchste Grundsatz der Congruenz ist daß Gleiches sich möglichst dem Gleichen geselle. Bei attributiver und prädicativer Verbindung muß der adjectivische Begriff mit seinem Nomen im Genus, Numerus und Casus; bei anaphorischer regelmäßig im Genus und Numerus; bei der appositiven im Casus übereinstimmen. Ausnahmen § 45, 2 A. 3 und 56, 9 A. 4.

A. 1. Anaphorisch nennen wir nicht bloß eine solche Verbindung bei der ein Pronomen, namentlich ein Demonstrativ oder Relativ, sondern auch die bei der ein Adjectiv oder Particip sich auf ein (meist vorhergehendes) Nomen bezieht.

A. 2. Oefter als andere Sprachen läßt die griechische da wo Form und Sinn collidiren den Sinn vorwalten; die formale Congruenz weicht der realen. So erscheint besonders bei einem persönlichen Neutrum der adjectivische Begriff im Masculinum. Ὦ φίλτατ', ὦ περισσὰ τιμηθεὶς τέκνον, θανεῖ πρὸς ἐχθρῶν. Εὐ. Ὦ χαῖρε κολλιχοψάγε Βοιωτίδιον. Ἀρ. Παρεκάθητο νέον ἔτι μειράκιον, ὡς μὲν ἐγῷμαι, καλόν τε κἀγαθὸν τὴν φύσιν· τὴν δ' οὖν ἰδέαν πάνυ καλός. Πλ. — Ἀμφὶ πύλας Κάδμου θανόντων ἑπτὰ γενναίων τέκνων ἄπαιδές εἰσιν, οὕς ποτ' Ἀργείων ἄναξ Ἄδρασιος ἤγαγεν. Εὐ. Τὰ μειράκια τὰ πᾶσι παραγεγενημένα τούτοις ἐκείνου κατεφρόνησαν, οὐκ ὀρθῶς γιγνώσκοντες. Ἰσ. Τὰ μειράκια τάδε πρὸς ἀλλήλους οἴκοι διαλεγόμενοι θαμὰ ἐπιμέμνηνται Σωκράτους. Πλ. Οὐκ ἂν δέξαιτο ἐγκαταλιπεῖν γε τὰ παιδικὰ ἢ μὴ βοηθῆσαι κινδυνεύοντι. Πλ. — Ταῦτ' ἔλεγεν ἡ μιαρὰ καὶ ἀναιδὴς αὕτη κεφαλή, ἐξεληλυθὼς τῇ προτεραίᾳ παρ' Ἀριστάρχου. Δη. Τίς ἂν ἐφίκοιτο τοιαύτης φύσεως, ὃς τὸν τόπον ὅλον ἐπὶ μετριότητα παρήγαγεν. Ἰσ.

A. 3. Scheinbar verletzt wird die Regel zuweilen beim Dual. Namentlich wird für den selbst bei Dichtern seltenen Artikel τά (§ 44, 2 A. 4) in der att. Prosa wohl immer τά als zweigeschlechtlich gebraucht vgl. § 14, 9 A. 2; vorherrschend in derselben auch τοῖν für ταῖν. Vgl. Herlein obss. critt. 1 p. 31 s. Eben so steht τώδε für τάδε Aesch. Cho. 205, So. Ant. 561, El. 977 (wo auch ὦ) und für das bezweifelte ταύτα (Ar. Frie. 847, wo Bekker ταύτας hat vgl. § 25, 5 A. 1) steht τούτω Aesch, Pers. 184, Isokr. 8, 116. 12, 156. 157, Xen. Cyr. 1, 2, 11, Plat. Rep. 452, Theät. 195, Ges. 679 a, ἀλλήλω Xen. Mem. 2, 3, 18. Neben ταύταιν Plat. Pol. 260, Isä. 5, 15, Soph. Oed. T. 1504, K. 859. 1149 erscheint τούτοιν (αὐτοῖν) Plat. Phil. 57, Ges. 693, e, 898, a; dagegen ταῖνδε Soph. El. 1133, Oed. K. 445. 1290, Ar. Ekkl. 1106. Aehnlich findet sich neben αὐτά Soph. Ant. 770 αὐτώ Aesch. Pers. 187, And. 1, 113, wie neben αὐταῖν Soph. Oed. K. 446, Thesm. 950 αὐτοῖν (τοῖν θεοῖν) And. Ar. 1 113, neben ἀλλήλαιν Xen. Mem. 2, 3, 18 ἀλλήλοιν Pl. Rep. 427, d. Vereinzelt sind femininisch ἐμώ Eur. Suppl. 140, μόνω Plat. Ges. 777, ματαίω und ἀξίω Eur. El. 1064, οἶν Pl. Ges. 644, ἀμφοτέροιν Isokr. 4, 139, δυοῖν Ῥοδίοιν πεντηκοντόροιν Thuc. 6, 43. Selten findet sich das Masc. eines Particips bei einem Femininum wie Plat. Phädr. 237: δύο τινέ ἐστον ἰδέα ἄρχοντε καὶ ἄγοντε. Οὕτω διάκεισθον ὥσπερ εἰ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τὸ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν, ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν ἀλλήλω. Ξε. Vgl. die Erkl. zu Eur. Alc. 913 (927) und § 44, 2 A. 4; über ἀμφοτέρω, οι wie über δύο eb. A. 2. 3.

2. Ein adjectivischer Begriff der zu verbundenen Nominen als Prädicat gehört wird nur einmal gesetzt; eben so in der Regel adjectivische Pronomina welche sich auf verbundene Nomina beziehen.

A. 1. Ein adjectivischer Begriff auf zwei (verschiedene) persönliche Singulare als Prädicat bezogen steht im Singular, wenn jeder gleichmäßig; im Dual, wenn beide jeder für sich; im Plural, wenn sie verbunden zu denken sind. Er steht im Masculinum auch wenn er sich auf ein

Masc. und Fem. bezieht. vgl. § 43, 1 A. 2. Doch kann er sich auch nach dem nächsten Nomen richten. *Ὁ σώφρων καὶ σωφρονοῦσα ἔστω πάντα εὐδόκιμος. Πλ.* — *Σωκράτει ὁμιλητὰ γενομένω Κριτίας τε καὶ Ἀλκιβιάδης πλεῖσια κακὰ τὴν πόλιν ἐποιησάτην. Ξε.* — *Ἀγάθων καὶ Σωκράτης λοιποί. Πλ.* — *Ἄλκηστις ἠθέλησε μόνη ὑπὲρ τοῦ αὐτῆς ἀνδρὸς ἀποθανεῖν ὄντων αὐτῷ πατρός τε καὶ μητρός. Πλ.* — *Τὸ ἔσχατον τῆς ἐλευθερίας τοῦ πλήθους, ὅταν δὴ οἱ ἐωνημένοι καὶ αἱ ἐωνημέναι μηδὲν ἧττον ἐλεύθεροι ὦσι τῶν πριαμένων. Πλ. Εἶδον νέους τε καὶ νέας ὁμιλοῦντας φιλοφρόνως ἀλλήλοις. Πλ.* — *Ἄφοβον δείκνυσι καὶ σχῆμα καὶ πρόσωπον καὶ λόγους. Ξε. Ἧττον ἂν εἴη στάσις ἑνὸς ἄρχοντος ἢ πολλῶν. Ξε. Οὔτε τυραννίδες χωρὶς πόνου γένοιντ' ἂν οὔτ' οἶκος μέγας. Εὐ.*

A. 2. Bei einer Verbindung persönlicher und sachlicher Nomina richtet sich das adjectivische Prädicat nach dem persönlichen, wenigstens im Genus, wenn es im Plural steht; zuweilen auch nach dem sachlichen, wenn dies näher steht. *Ἐπύθετο Στρομβιχίδην καὶ τὰς ναῦς ἀπελελυθότα. Θ. Αὐτοί τε ἄνθρωποι καὶ γῆ αὐτῶν ἐπώνυμοι τοῦ καταστρεψαμένου καλοῦνται. Ἡρ. Ἡ τύχη καὶ Φίλιππος ἦσαν τῶν ἔργων κύριοι. Αἰ.* (*Τιμωμένου πλούτου ἐν πόλει καὶ τῶν πλουσίων ἀτιμοτέρα ἀρετή τε καὶ οἱ ἀγαθοί. Πλ.*)

A. 3. Im Neu. Plu. steht ein adjectivisches Prädicat auf ein persönliches und unpersönliches Nomen bezogen, wenn beide bloß als Gegenstände betrachtet werden. *Ἡ καλλίστη πολιτεία τε καὶ ὁ κάλλιστος ἀνὴρ λοιπὰ ἂν ἡμῖν εἴη διελθεῖν. Πλ.* (*Ἔχω αὐτῶν καὶ τέκνα καὶ γυναῖκας ἐν Θράλλεσι φρουρούμενα. Ξε.*)

A. 4. Wenn zu mehrern unpersönlichen Nominen Ein adjectivisches Prädicat hinzugefügt wird, so richtet es sich entweder nach dem nächsten oder steht im Plu.; am häufigsten im Plu. des Neu., in sofern die Nomina bloß als Gegenstände betrachtet werden. In diesem Falle ist das adjectivische Prädicat eig. substantivirt. Vgl. 43, 4 A. 11. *Καὶ νόμος καὶ φόβος ἱκανὸς ἔρωτα κωλύειν. Ξε.* — *Τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά. Ξε Τέχναι πᾶσαι καὶ σοφίσματα διὰ τὸν Πλοῦτόν ἐσθ' εὑρημένα. Ἀρ. Δόξα καὶ ἐπιμέλεια καὶ νοῦς καὶ τέχνη καὶ νόμος σκληρῶν καὶ μαλακῶν πρότερα ἂν εἴη. Πλ. Λύπη ὀργή τ' εἰς ἕνα ψυχῆς τόπον ἐλθόντα μανία τοῖς ἔχουσι γίγνεται. Γν. Εὐγένειαί τε καὶ δυνάμεις καὶ τιμαὶ ἐν τῇ ἑαυτοῦ δῆλά ἐστιν ἀγαθὰ ὄντα. Πλ. Τὸ κινησόμενον καὶ κίνησιν συγχωρητέον ὡς ὄντα. Πλ.* (*Τῶν ὑπαρχόντων νόμων καὶ πολιτείας μενόντων οὐκ ἔνι τῶν αἰσχρῶν αὐτῷ τούτων ἀπαλλαγῆναι. Δη*).

A. 5. Substantivirte Neutra adjectivischer Pronomina können sich eben so auf mehrere Nomina auch von anderm Genus beziehen. Doch können sich die Pronomina auch adjectivisch gebraucht nach dem nächsten Nomen richten. (Auf zwei einheitliche Begriffe bezogen steht das Pronomen im Dual, in sofern jeder für sich zu betrachten ist.) *Ἐπὶ μὲν τοὺς ἐχθροὺς στρατιώτας τρέφειν δεῖ· ἐπὶ δ' ἡμᾶς αὐτοὺς ψήφισμα, εἰσαγγελία, πάραλος, ταῦτ' ἐστὶν ἱκανά. Δη.* (*Οὐκ οἶδα*) *εἴτε χρὴ κακίαν εἴτ' ἄγνοιαν εἴτε καὶ ἀμφότερα ταῦτ' εἰπεῖν. Δη.* — (*Ὁμολογεῖται τὴν φύσιν*

ἡμῶν ἔκ τε τοῦ σώματος συγκεῖσθαι καὶ τῆς ψυχῆς, αὐτοῖν δὲ τούτοιν οὐδεὶς ἔσιν ὃς οὐκ ἂν φήσειεν ἡγεμονικωτέραν πεφυκέναι τὴν ψυχὴν καὶ πλέονος ἀξίαν. Ἰσ.) Εὐαγόρας παῖς ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην, ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς τηλικούτοις ἐστίν. Ἰσ. Ἥκομεν ἐκκλησιάσοντες περὶ πολέμου καὶ εἰρήνης, ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων. Ἰσ. Εὐεργετῶν ἀνθρώπους καρποῦμαι ἀσφάλειαν καὶ εὔκλειαν, ἃ οὐ κατασήπεται. Ξε. — Φίλιππος καὶ πλοῦτον καὶ δύναμιν ἐκέκτητο ὅσην οὐδεὶς τῶν Ἑλλήνων, ἃ μόνα τῶν ὄντων καὶ πείθειν καὶ βιάζεσθαι πέφυκεν. Ἰσ.

A. 6. Substantivirt findet sich auch das Neu. Sing. demonstrativer und relativer Pronomina auf ein Masc. oder Fem., selbst eines persönlichen Begriffes, bezogen oder es ankündigend. Φιλοσοφία ἐστὶ χαρίεν, ἄν τις αὐτοῦ μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ. Πλ. Ἐπιστήμης οὐδέν ἐστι κρεῖττον, ἀλλὰ τοῦτο ἀεὶ κρατεῖ. Πλ. Οὐχ ὧν ἕνεκα οἱ πολλοί φασι δεῖν πονηρίαν μὲν φεύγειν, ἀρετὴν δὲ διώκειν, τούτων χάριν τὸ μὲν ἐπιτηδευτέον, τὸ δ' οὔ, ἵνα δὴ μὴ κακὸς καὶ ἵνα ἀγαθὸς δοκῇ εἶναι. Πλ. — Πᾶν δὴ τὸ καλῶς ἔχον ἢ φύσει ἢ τέχνῃ ἢ ἀμφοτέροις ἐλαχίστην μεταβολὴν ὑπ' ἄλλου ἐνδέχεται. Πλ. — Οὐδεπώποτε λόγους ἠγάπησα, ἀλλ' ἀεὶ ἐνόμιζον τοὺς περὶ τοῦτο διατρίβοντας ἀργοτέρους εἶναι πρὸς τὰς πράξεις. Ἰσ. — Ἡ γῆ ἐγέννησεν ἄνθρωπον, ὃ συνέσει ὑπερέχει τῶν ἄλλων. Πλ. — Εὐδαιμονίας τοῦτ' ἔστιν, υἱὸς νοῦν ἔχων. Μέ. Ὃ μεταξὺ ἀμφοτέρων ἔφαμεν εἶναι, τὴν ἡσυχίαν, τοῦτό ποτε ἀμφότερα ἔσται, λύπη τε καὶ ἡδονή. Πλ.

A. 7. Zuweilen bezieht sich ein solches Neu. auf den verbalen Begriff der im Substantiv enthalten ist Τοῖς Ἀσιανοῖς πυγμῆς καὶ πάλης ἆθλα τίθεται καὶ διεζωσμένοι τοῦτο δρῶσιν. Θ. Πανάπασι φύσεως κακίας σημεῖόν ἐστιν ὁ φθόνος καὶ οὐκ ἔχει πρόφασιν δι' ἣν ἄν τύχοι συγγνώμης ὁ τοῦτο πεπονθώς. Δη. Οὐδεμία παραίνεσις ἀγαθοὺς ἂν ποιήσειε τοξότας, εἰ μὴ ἔμπροσθεν τοῦτο μεμελετηκότες εἶεν. Ξε.

A. 8. Das Neu. besonders von Pronominaladjectiven kann sich auch auf nicht substantivische Begriffe beziehen. So selbst auf Verba, in sofern der Inf. entweder da steht oder (mit dem Zugehörigen) gedacht wird. Ὁ εὖ ζῶν μακάριός τε καὶ εὐδαίμων, ὁ δὲ μή, τἀναντία. Πλ. — Πατρὶ πείθεσθαι χρεὼν παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην. Εὐ. Οὐχ ὁ δουλωσάμενος, ἀλλ' ὁ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ ἀληθέστερον αὐτὸ δρᾷ. Θ. Εὐψυχίαν ἔσπευσας ἀντ' εὐβουλίας, ὃ δῆτα πολλοὺς ὤλεσε στρατηλάτας. Εὐ. Φθονεῖ ἢ καὶ φοβεῖται· ἀμφότερα γὰρ τάδε πάσχει τὰ μείζω. Θ.

A. 9. Das Relativ bezieht sich in einigen Stellen nach zwei verschiedenen Begriffen bloß auf den (wichtigern) ersten. Εὗρες ἄνδρας καὶ πόλισμ' ἐλεύθερον, οἵ σ' οὐκ ἔδεισαν. Εὐ. Οὐκ ἄχρηστοι αἱ πέρυσι πρεσβεῖαι ἐκεῖναι καὶ κατηγορίαι, ἃς οἱ πρέσβεις περιήλθομεν. Δη.

A. 10. Auf einen Dual kann sich ein Plural beziehen. Ἄνδρε δύο χωρεῖτον, ὧν μαθόντες εἴσιτον. Σο. Διάκεισθον ὥσπερ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τὸ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν. Ξε.

3. Wenn verbundene Nomina ein gemeinschaftliches Attribut haben, so wird dieses wiederholt, wenn Deutlichkeit oder Nachdruck es erfordern; sonst dem nächsten Nomen angefügt.

A. 1. Wiederholt wird gewöhnlich der Artikel, wenn die verbundenen Begriffe jeder für sich zu denken, nicht zu einer Gesamtheit zusammen zu fassen sind (vgl. Herbst zu Xen. Mem. 1, 1, 18); meist auch, wenn die Nomina von verschiedenem Genus; regelmäßig, wenn sie von verschiedenem Numerus sind. Ausnahmen sind am häufigsten bei Plato. *Σκόπει εἰ τάδ' ἐστὶ τό, τε δίκαιον καὶ τὸ ἄδικον καὶ καλὸν καὶ αἰσχρόν. Πλ. Ἀγαθὸν εἶναί φησι τὸ χαίρειν πᾶσι ζώοις καὶ τὴν ἡδονὴν καὶ τέρψιν. Πλ. Αἴτιος τοῦ ζῆν ὁ ἄρχων τε καὶ βασιλεὺς τῶν πάντων. Πλ. — (Ἐφάνη ἄρτι ὡρισμένα τὸ ὅσιον καὶ μή. Πλ. Πᾶς τις ἥδεται λέγων τά τ' ὄντα καὶ μή. Εὐ. Αἱ ἐμβολαὶ διὰ τὸ μὴ εἶναι τὰς ἀναχρούσεις καὶ διέκπλους ὀλίγαι ἐγίγνοντο. Θ. Καταδύεται ἐς τὸ ἐντὸς τῆς ψυχῆς ὅ, τε ῥυθμὸς καὶ ἁρμονία. Πλ. Τοῦ ὄντος τε καὶ ἀληθείας ἐρασταί εἰσιν οἱ φιλόσοφοι. Πλ. Ἐμὲ αἱρήσει ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος. Πλ.)*

A. 2. Ein adjectivisches Attribut das zu mehrern Nominen gehört findet sich wiederholt gewöhnlich nur der Deutlichkeit oder des Nachdrucks halber oder wenn die Nomina von verschiedenem Genus oder Numerus (oder beides) sind. Oft jedoch wird es auch in diesem Falle nur Ein Mal gesetzt und dem nächsten Nomen angefügt. *Ἡ αὐτὴ ἀρετὴ πολίτου τε σπουδαίου καὶ ἀνδρὸς σπουδαίου. Ἀρλ. Ἓν σῶμα ἔχων καὶ ψυχὴν μίαν παντὶ θυμῷ φιλεῖ τοὺς ἑαυτὸν εὖ ποιοῦντας. Δη. — Ποταμοὺς εἰώθαμεν λέγειν τοὺς αὐτοὺς καὶ κρήνας τὰς αὐτάς, καίπερ ἀεὶ τοῦ μὲν ἐπιγιγνομένου νάματος, τοῦ δ' ὑπεξιόντος. Ἀρλ. Ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη εὔνουν καὶ πλούσιον ἄνδρα ἐκάλει. Δη. Πάσαις ἡλικίαις καὶ πᾶσιν ἤθεσιν ἡ χρῆσις τῆς μουσικῆς ἐσι προσφιλής. Ἀρλ. — Συχνῷ τῷ ψεύδει καὶ τῇ ἀπάτῃ κινδυνεύει ἡμῖν δεήσειν χρῆσθαι τοὺς ἄρχοντας ἐπ' ὠφελείᾳ τῶν ἀρχομένων. Πλ.*

Τὸν καλον καγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονα εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον. Πλ. Τὸν ἥττονα δουλούμεθ' ἄνδρες ἄνδρα καὶ πόλις πόλιν. Εὐ. Εἰκός γε παντὶ καὶ λόγῳ καὶ μηχανῇ πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν. Γν. Ἀναμνήσθητε ἐξ ὅσων κακῶν καὶ πολέμου ὑμᾶς αὐτοὺς πειριεποιήσατε. Αν. Δεήσομαι πάντων ὑμῶν μηδεμίαν μήτε χάριν μήτ' ἄνδρα περὶ πλείονος ποιεῖσθαι ἢ τὸ δίκαιον. Δη. (Ὁ σίγλος δύναται ἑπτὰ ὀβολοὺς καὶ ἡμιοβόλιον Ἀττικούς. Ξε.) — Δεινὰ πεπόνθασι καὶ πόλεις ὅλαι καὶ ἔθνη. Δη. Λακεδαιμόνιοι καὶ ἡμεῖς οὔτε νόμοις οὔτε ἔθεσι χρώμεθα τοῖς αὐτοῖς οὔτε πολιτείᾳ. Ξε. — Ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη. Θ. Τοὺς ἀναξίους παιδεύσεως ποῖ' ἄττα φῶμεν γεννᾶν διανοήματά τε καὶ δόξας; Πλ.

A. 3. Ein Adjectiv als Attribut zweier persönlichen Singulare kann, wenn ohne Artikel, im Plural stehen. *Σωφρόνων ἐστὶ καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτω ποιεῖν ὅπως τὰ ὄντα ὡς βέλτιστα ἕξει. Ξε.*

4. Bei der appositiven und anaphorischen Verbindung richtet der Grieche sich oft nicht nach der Form, sondern nach dem Wesen des bezüglichen Begriffes.

A. 1. So können auf Collectiva jeglichen Geschlechts (und Numerus) bezogen Participia (Adjectiva) und Pronomina im Plural des Masc. stehen, in so fern man die bezüglichen Individuen gedacht wissen will. *Ὁ ὄχλος ἠθροίσθη, θαυμάζοντες καὶ ἰδεῖν βουλόμενοι. Ξε.* (*Τροίαν ἑλόντες δήποτ' Ἀργείων στόλος θεοῖς λάφυρα ταῦτ' ἐπασσάλευσαν. Αἰσ.*) *Στρατιὰ ἔτυχε παρελθοῦσα, πρὸς Βοιωτούς τι πράσσοντες. Θ. Τὸ στράτευμα ἐπορίζετο σῖτον, κόπτοντες τοὺς βοῦς καὶ ὄνους. Ξε. — Μελέτω σοι τοῦ πλήθους καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν. Ἰσ. Τίς σε αἰτᾶται πόλις νομοθέτην ἀγαθὸν γεγονέναι καὶ σφᾶς ὠφεληκέναι; Πλ. Τίς ἂν εὖ φρονῶν τοῦ τῆς Καχίας θιάσου τολμήσειεν εἶναι; οἱ νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσιν, πρεσβίτεροι δὲ γενόμενοι ταῖς ψυχαῖς ἀνόητοι. Ξε. Δεῖ ζηλῶσαι καὶ μιμήσασθαι τὴν ἐν Λακεδαίμονι βασιλείαν· ἐκείνοις γὰρ ἀδικεῖν ἧττον ἔξεστιν ἢ τοῖς ἰδιώταις. Ἰσ.*

A. 2. So stehen auch nach Erwähnung von Ländern und Städten adjectivische Begriffe, auf deren Bewohner hinweisend, im Plu. des Masc.; im Plu. eben so auch Verba. *Ἀφίκοντο εἰς Κοτύωρα, πόλιν Ἑλληνίδα, Σινωπέων ἀποίκους, οἰκοῦντας ἐν τῇ Τιβαρηνῶν χώρᾳ. Ξε. Θεμιστοκλῆς φεύγει ἐς Κέρκυραν, ὧν αὐτῶν εὐεργέτης. Θ. Τῶν ἐπὶ Θρᾴκης μεγίστη πόλις Ὄλυνθος· οὗτοι τῶν πόλεων προσηγάγοντο ἔστιν ἃς. Ξε.* (*Πυρώσω τὰς Ἀθήνας, οἵ γε ἐμὲ ὑπῆρξαν ἄδικα ποιοῦντες. Ἡρ.*) — *Ναυτικὰ ἐξηρτύετο ἡ Ἑλλὰς καὶ τῆς θαλάσσης ἀντείχοντο. Θ. Γοργίας ὁ Λεοντῖνος διέτριψε περὶ Θετταλίαν, ὅτε εὐδαιμονέστατοι ἦσαν. Ἰσ.*

A. 3. Auch auf einen individuellen Singular kann ein mehrheitlicher Begriff bezogen werden, in so fern dieser die Masse (oder doch eine Mehrheit) von Individuen zu denen jener mit gehört umfaßt. So besonders das Reflexiv der dritten Person; ferner *αὐτοί*, *σφεῖς* und *σφέτερος*. *Ἀγησίλαος εἶπεν ὡς εἰ μὴ ἑαυτοὺς αἱρήσονται, δηώσει πᾶσαν τὴν γῆν αὐτῶν. Ξε. Κῦρος ἐπεσκοπεῖτο εἴ τι δυνατὸν εἴη τοὺς πολεμίους ἀσθενεστέρους ποιεῖν ἢ αὑτοὺς ἰσχυροτέρους. Ξε. Ὁ Λάμαχος παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ ἑαυτῶν. Θ. — Τισσαφέρνης διελαύνων κατέκτανε μὲν οὐδένα, διαστάντες δ' οἱ Ἕλληνες ἔπαιον καὶ ἠκόντιζον αὐτούς. Ξε.* (*Βασιλεὺς συνῄει καὶ εἶδον οἱ Ἕλληνες ἐγγὺς ὄντας καὶ παρατεταγμένους. Ξε.*) *Θεμιστοκλῆς ἐκέλευε τοὺς πρέσβεις μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ κομισθῶσιν· ἐφοβεῖτο γὰρ μὴ οἱ Λακεδαιμόνιοι σφᾶς οὐκέτι ἀφῶσιν. Θ. — Ὁ Γύλιππος ἀνήγαγε τοὺς σφετέρους. Θ.*

A. 4. In gleicher Weise treten nicht selten nach Singularen Plurale von Demonstrativen und Relativen ein, in sofern alle Individuen der Gattung zu bezeichnen sind. (Selten umgekehrt.) *Κακὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνὴ καὶ κτώμεθ' αὐτὰς ὡς ἀναγκαῖον κακόν. Μέ. Ἄλλος ἀναστὰς ἔλεγε τῷδ' ἐναντία, αὐτουργός, οἵπερ καὶ μόνοι σώζουσι γῆν. Εὐ. Φίλοις ἀληθὴς ἦν φίλος παροῦσί τε καὶ μὴ παροῦσιν, ὧν ἀριθμὸς οὐ πολύς. Εὐ. — (Δεῖ τινας φίλους ὑπάρχειν, οἷον αὐτὸς δή.)*

A. 5. Wegen ihrer collectiven Bedeutung können auch Wörter wie *ἕκαστος*, *τὶς*, *πᾶς τις*, *οὐδείς*, *ὅς ἄν*, *ὅστις* (*ἄν*) mit Pluralen in Bezie-

hung stehen, sowohl der Plural auf den Singular bezogen als umgekehrt. *Ὅταν ἕκαστος διανοηθῇ ὡς ἄλλος ἔσται ὁ πράσσων, τούτοις ἐᾷ ἴστε ὅτι πᾶσιν ἅμα πάντα ἥκει τὰ χαλεπὰ φερόμενα. Ξε. Προσῆκε ἑνὶ ἑκάστῳ, οὕστινας ᾤετο ἔχειν τι δοῦναι. Ξε. Ἕκαστον ἐκέλευσε τοῖς καινοῖς ἑαυτῶν θεράπουσιν εἰπεῖν ὅτι ἴστις ἂν ὄπισθεν φαίνηται, κολασθήσεται. Ξε. Ἔφυγον ἐκ τῆς ἀγορᾶς, δεδιότες εἷς ἕκαστος μὴ συλληφθείη. Ἀνδ. Πίστεις ἔδοσαν ἀλλήλοις, νομίζων ἕκαστος τὴν ἐπικουρίαν ταύτην αὐτῷ παρασκευάζειν. Ἰσ. (Τῶν ἑαυτοῦ ἕκαστος καὶ παίδων καὶ οἰκετῶν καὶ χρημάτων ἄρχουσιν. Ξε.) — Ἑώρα τοὺς ἐπαινουμένους ὑπό τινος ἀντεπαινοῦντας τούτους προθύμως. Ξε. Ἄν τι πάθωσι κακὸν λυποῦνται ἐπὶ τούτοις. Ξε. Πᾶς τις ὄμνυσιν οἷς ὀφείλων τυγχάνω. Ἀρ. Δοκεῖς ἄν τι ἔθνος ὅσα κοινῇ ἐπί τι ἔρχεται ἀδίκως πρᾶξαι ἄν τι δύνασθαι, εἰ ἀδικοῖεν ἀλλήλους; Πλ. Οὐδεὶς ἐκοιμήθη, τοὺς ἀπολωλότας πενθοῦντες. Ξε. Ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται, εὐχόμενοι μὲν μὴ καθ' ἑαυτοὺς ἕκαστοι γενέσθαι, κωλύειν δὲ οὐδεὶς ἐπιχειρῶν. Δη. — Ὅς ἂν κάμνηται τῶν οἰκετῶν, τούτων σοι ἐπιμελητέον πάντων, ὅπως θεραπεύηται. Ξε. Ἀσπάζεται πάντας ᾧ ἂν περιτυγχάνῃ. Πλ. Βασιλέας πολλοὺς κεκολάκευκεν, ᾧ ἂν συγγένηται. Λυ. — Ὅστις αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ ἢ γλῶσσαν ἣν οὐκ ἄλλος ἢ ψυχὴν ἔχειν, οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί. Σο. Πολλοῖς παρέστην κἀφθόνησα δὴ βροτῶν, ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὁμοῖος ᾖ. Εὐ. (Θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν. Πλ.)*

A. 6. Ueber die Beziehung eines adjectivischen Begriffes auf ein Substantiv das in einem Adjectiv enthalten ist s. § 43, 3 A. 12. Vgl. Pflugk zu Eur. Herk. 157.

§ 59. Parataktik.

1. Parataktisch ist diejenige Verbindung bei der Begriffe oder Sätze unabhängig an einander gereiht werden. Dies geschieht entweder durch Vermittelung von Conjunctionen (*σύνδεσμοι*): syndetisch, oder durch bloße Zusammenstellung: asyndetisch.

A. 1. Im Griechischen waltet bei Weitem mehr als in neueren Sprachen das Streben Begriffe und Sätze durch Conjunctionen zu verbinden und die Rede zu einem wohlgefügten, organischen Ganzen zu gestalten. Asyndeta erscheinen daher regelmäßig nur aus besondern stylistischen Gründen, namentlich um der Rede mehr Lebhaftigkeit und Eindringlichkeit zu geben oder auch anzudeuten daß man noch mehreres Aehnliche denken könne. *Ἦν ἐν τῷ στρατεύμαι πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμός, βοή, νικωντες, κρατούμενοι, ἄλλα ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στραπόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. Θ. Συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. Ξε. Ἀναισχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις πλάττονται, πάντα ποιοῦσιν ὑπὲρ τοῦ μὴ δοῦναι δίκην. Δη. Εἴρηκα, ἀκηκόατε, ἔχετε, κρίνατε. Ἀρλ.*

A. 2. Bloße Verkürzung ist das Asyndeton in ἄνω κάτω neben ἄνω (τε) καὶ κάτω drunter und drüber. Ἀνάτρεψον ἔμπαλιν ἄνω κάτω τὰ πάντα συγχέας ὁμοῦ. Εὐ.

A. 3. Dem Asyndeton gesellt sich oft die Anaphora, eine nachdrucksvolle Wiederholung desselben Wortes, das dann wenigstens im zweiten und den folgenden Sätzen gewöhnlich die erste Stelle einnimmt: ἀναφορὰ ἀσύνδετος. Νῦν αἴδε μ' ἐκσώζουσιν, αἴδ' ἐμαὶ τροφοί, αἴδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν. Σο. Πάντων τῶν πεπραγμένων ξξέστη, ὧν ἀπήγγειλεν, ὧν ὑπέσχετο, ὧν πεφενάκικε τὴν πόλιν. Δη. Ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους. Ξε. (Ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς. Αἰ.)

A. 4. Weniger lebhaft als eindringlich erscheint viel häufiger dieselbe Anaphora auch mit μὲν — δέ; bloß mit δέ oft bei Dichtern, selten in der Prosa. Hieher gehört auch ἅμα μὲν — ἅμα δέ simul — simul, zugleich — und, theils — theils. Ἀπάτης μὲν μεστὴ ἡ διὰ τῶν ὀμμάτων ὄψις, ἀπάτης δὲ ἡ διὰ τῶν ὤτων. Πλ. Δεινὴ μὲν ἁλκὴ κυμάτων θαλασσίων, δειναὶ δὲ ποταμοῦ, καὶ πυρὸς θερμαὶ πνοαί, δεινὸν δὲ πενία, δειναὶ δ' ἄλλα μυρία· ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν. Εὐ. Ὁ ἀρετὴν ἔχων πλουτεῖ μὲν ὄντων φίλων, πλουτεῖ δὲ καὶ ἄλλων βουλομένων γενέσθαι. Ξε. Γνώμη ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος, εἰς τ' αὖ πόλεμον ἰσχύει μέγα. Εὐ. — Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς οὐρανός. Αἰσ. — Τὸ πείθειν οἷόν τ' εἶναι τοῖς λόγοις ἐστὶν αἴτιον ἅμα μὲν ἐλευθερίας αὐτοῖς τοῖς ἀνθρώποις, ἅμα δὲ τοῦ ἄλλων ἄρχειν ἐν τῇ αὑτοῦ πόλει ἑκάστῳ. Πλ.

A. 5. Asyndeta von Sätzen sind im Allgemeinen bei Dichtern viel häufiger als bei Prosaikern. Kaum als solche zu betrachten sind die Stellen an denen der zweite Satz eine Erklärung oder Erläuterung des ersten enthält, wo freilich oft auch καί oder γάρ anwendbar wäre. Ἄψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ, τι λέγεις. Αἰ. Τετόλμηται, δέδοται τὸ σῶμα τῷ κινδύνῳ. Αἰ. — Εἰμί τις γελοῖος ἰατρός· ἰώμενος μεῖζον τὸ νόσημα ποιῶ. Πλ. Ἐλπίδα χρὴ ἔχειν· ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν. Θ. — Τοῦτο ἐξ ἀνάγκης αὐτῷ συμβαίνει. Λογίζεσθε γάρ· ἄρχειν βούλεται, τούτου δ' ἀναγωνιστὰς μόνους ὑμᾶς ὑπείληφεν· ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτο αὐτὸς ἄριστα σύνοιδεν αὑτῷ. Δη. — Αἱ ἄλλαι τέχναι οὕτως ἔχουσιν· ἑκάστη αὐτῶν περὶ λόγους ἐστὶ τούτους οἳ τυγχάνουσιν ὄντες περὶ τὸ πρᾶγμα οὗ ἑκάστη ἐστὶν ἡ τέχνη. Πλ. Ἆρ' οἱ κόσμιοι οὐ (ταὐτὸν) τοῦτο πεπόνθασιν; ἀκολασίᾳ τινὶ σώφρονές εἰσιν; Πλ. Ὅπως μὴ ποιήσειε ὃ πολλάκις ὑμᾶς ἔβλαψεν· πάντ' ἐλάττω νομίζοντες τοῦ δέοντος ἐπὶ τῷ πράττειν οὐδὲ τὰ μικρὰ ποιεῖτε. Δη. Ἐν τοῖς λόγοις ἀεὶ τοιοῦτος εἶ· σαυτῷ τε καὶ τοῖς ἄλλοις ἀγριαίνεις πλὴν Σωκράτους. Πλ. Μία ἀρχὴ τοῖς μέλλουσι καλῶς βουλεύεσθαι εἰδέναι δεῖ περὶ οὗ ἂν ᾖ ἡ βουλὴ ἢ παντὸς ἁμαρτάνειν ἀνάγκη. Πλ. — (Ὦ παῖ σιώπα· πόλλ' ἔχει σιγὴ καλά. Σο. Μὴ πάντ' ἐρεύνα· πολλὰ καὶ λαθεῖν καλόν. Σο. Μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν, ὃν χὠ (καὶ ὁ) κάκιστος ῥᾳδίως ἐκτήσατο. Εὐ. Μεταδίδου παῤῥησίας· βέλτιστον τοῦτο δοῦλον ποιήσει πολύ. Μέ.)

A. 6. Aehnlich finden sich appositiv selbst der Conjunctiv und Optativ; über den Infinitiv § 57, 16 A. 8. Κτῆσαι Μυκήνας μηδ', ὅπερ φιλεῖτε δρᾶν, πάθῃς σὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν φίλους ἑλέσθαι τοὺς κακίονας λάβῃς. Εὐ. Φυλακτέον μὴ τοιοῦτον ἡμῖν οἱ ἐπίκουροι ποιήσωσι, ἀντὶ ξυμμάχων εὐμενῶν δεσπόταις ἀγρίοις ἀφομοιωθῶσιν. Πλ. Οὐκ εὔκολος γίγνοιτ' ἂν ὁ κατοικισμὸς ταῖς πόλεσιν, ὅταν

μὴ τὸν τῶν ἐσμῶν γίγνηται τρόπον, ἓν γένος ἀπὸ μιᾶς ἰὸν χώρας οἰκίζηται. Πλ. — Ὡς οἱ ἐπιτηδεύοντες ἀδυναμίᾳ τοῦ ἀδικεῖν ἄκοντες αὐτὸ ἐπιτηδεύουσι, μάλιστ' ἂν αἰσθοίμεθα, εἰ τοιόνδε ποιήσαιμεν τῇ διανοίᾳ, δόντες ἐξουσίαν ἑκατέρῳ ποιεῖν ὅ, τι ἂν βούληται τῷ τε δικαίῳ καὶ τῷ ἀδίκῳ, εἶτ' ἐπακολουθήσαιμεν θεώμενοι ποῖ ἡ ἐπιθυμία ἑκάτερον ἄξει. Πλ. Δημοφῶντι τὰ δύο τάλαντα καρποῦσθαι ἔδωκεν, ἵνα δυοῖν θάτερον διαπράξαιτο, ἢ διὰ τὰ διδόμενα βελτίους αὐτοὺς εἶναι προτρέψειεν, ἢ εἰ κακοὶ γίγνοιντο, μηδεμιᾶς συγγνώμης παρ' ὑμῶν τυγχάνοιεν. Δη.

(A. 7. Auffallend folgt auf den Indicativ ſtatt eines exegetiſchen Indicativs zuweilen ein Particip. *Σχεδόν τι οὕτω διεκείμεθα, ποτὲ μὲν γελῶντες, ἐνίοτε δὲ δακρύοντες. Πλ. Τούτου ἕνεκα ταύτην ἐποιησάμην τὴν ὑπόθεσιν, ἡγούμενος ἐκ τοῦ παραινεῖν τήν τε διάνοιαν τὴν ἐκείνου μάλιστ' ὠφελήσειν καὶ τὸν τρόπον τὸν ἑμαυτοῦ τάχιστα δηλώσειν. Ἰσ.*)

A. 8. Aehnlich wie A. 5 findet ſich das Aſyndeton bei lebhaften Aufforderungen nnd Verſicherungen. *Ἱκετεύω ὦ πάππε, δός μοι ἄρξαι αὐτοῦ. Ξε. Ἀποκτείνατέ με, οὐ παραιτοῦμαι. Ἀνδ. Τίνι ἐμποδών εἰμι; παρίημι, ἀρχέτω. Ξε. Ἐκών, ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι. Αἰσ. Ἥξεις, ἐπείγου μηδέν, εἰς τὸ μόρσιμον. Σο.*

A. 9. Zwei Sätze unverbunden ſchroff neben einander geſtellt können der erſte einen geſetzten Fall, der zweite die eventuelle Folge ausdrücken. Vgl. § 54, 1 A. 1. *Ἢν λάβῃ μηδὲν φερομένην, δοῦλος αὐτὸς γίγνεται. ἀλλ' ἔλαβεν αἰσχράν· οὐ βιωτόν ἐστ' ἔτι. ἀλλ' ἔλαβεν ὡραίαν τις· οὐδὲν γίγνεται μᾶλλόν τι τοῦ γήμαντος ἢ τῶν γειτόνων. Γν.* Anders Dem. 19, 221.

A. 10. Ein Gegenſatz mit *οὔ* kann aſyndetiſch eintreten. Weniger ſcharf iſt *ἀλλ' οὔ*, neben dem ſich auch das nur ablehnende *καὶ οὔ* findet. *Τὸ συνετὸν θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος. Εὐ. Τῶν κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν. Πλ. Ἱστοὶ γυναικῶν ἔργα κοὐκ ἐκκλησίαι. Γν.*

A. 11. Wenn man das Vorhergehende zuſammenfaßt, um etwas Neues anzuknüpfen, gebraucht man ſtatt des gewöhnlichen *μὲν οὖν* oft bloß *μέν*, wie Thuc. 1, 55. 110. 2. 102 u. a. Statt durch *δέ* etwas anzuknüpfen ſtellt Xenophon ohne Conjunction das Verbum voran An. 5, 6, 25. 7, 3, 32. 6, 40; desgleichen 3, 4, 42. 4, 1, 20. 8, 6, 7. u. a. Mehr Nachweiſungen dort im Regiſter unter Aſyndeton.

2. Parataktiſch angefügt werden Begriffe und Sätze durch copulative nnd adverſative Conjunctionen, wie *καί*, (*τέ*), *οὐδέ, μηδέ; καὶ—καί, τέ* (—) *καί, τέ—τέ; εἴτε—εἴτε, οὔτε—οὔτε, μήτε—μήτε, οὔτε—τέ, μήτε—τέ;* (*μὲν* —) *δέ, ἀλλά, μέντοι; ἤ* oder, *ἤ—ἤ* entweder — oder ꝛc.

A. 1. Ueber die Bedeutung dieſer Partikeln einzeln unten § 69; hier nur über mehr oder weniger Gemeinſames eigenthümlicher Verbindungen. Zwar verbindet auch der Grieche gew. nur Gleichartiges; doch weniger ſervil als wir findet er mehrfach Verbindungen die uns als Mißverhältniſſe erſcheinen würden ganz naturgemäß, zumal wenn das Verbundene nur äußerlich, in der Form, verſchieden iſt.

A. 2. Ueber die Verbindung verschiedener Casus von Participien § 56, 14 A. 2. (Sonst ist diese Verbindung selten. So auch die eines bloßen Casus mit einer Präposition und ihrem Substantiv. *Κρήνη ἡδέος ὕδατος καὶ ἄφθονος ῥεῖ ἐπ' αὐτῇ τῇ θαλάσσῃ. Ξε. — Ἀπεκρίνατο διὰ βραχέων τε καὶ αὐτὰ τὰ ἐρωτώμενα. Πλ. Τριάκοντα ναῦς ἐξέπεμψαν περὶ τὴν Λοκρίδα καὶ Εὐβοίας ἅμα φυλακήν. Θ.*)

A. 3. Leicht verbinden sich verschiedene Wortarten die sinnähnliche Verhältnisse bezeichnen. *Ὦ παγκακίστη καὶ γυνή. Εὐ. Λόγοισι συμβὰς καὶ θεῶν ἀνώμοτος φίλος γένοι' ἄν. Εὐ. Παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροὶ καὶ νομίζοντες κατασχήσειν ῥᾳδίως τὰ πράγματα. Θ. — Παρῆλθε βαλλόμενός τε καὶ χαλεπῶς. Θ. Καλῶς καὶ ἀληθῆ λέγεις. Πλ. Ἐβλασφήμει κατ' ἐμοῦ ταχὺ καὶ πολλὰ καὶ μεγάλῃ τῇ φωνῇ. Δη. Ἀφυλάκτοις τε καὶ ἐξαίφνης ἐπιγενόμενοι διέφθειραν. Θ. Οἱ ἵπποι ἐπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ ξυνεχῶς ταλαιπωροῦντες. Θ. Προσπίπτει ἄφνω τε καὶ νυκτός. Θ. — Προῒ ἐσβαλόντες καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος ἐσπάνιζον τροφῆς. Θ. Ἅμα τῷ τειχισμῷ καὶ τοῦ ἦρος εὐθὺς ἀρχομένου ναῦς ἔστειλαν. Θ. Ἐποιήσαντο τὴν ξυμμαχίαν τοῦ χειμῶνος τελευτῶντος ἤδη καὶ πρὸς ἔαρ. Θ. — Πολλῷ θορύβῳ καὶ πεφοβημένοι παρεσκευάζοντο. Θ. Διὰ πολλοῦ θορύβου καὶ ἄσιτοι οἱ πλείους ἀντανήγοντο. Θ. Ἀπό τε τῆς χώρας ἐτρέφοντο καὶ ἐργαζόμενοι μισθοῦ. Ξε. Ἀδύνατοι ἦσαν ἀποβῆναι τῶν τε χωρίων χαλεπότητι καὶ τῶν Ἀθηναίων μενόντων. Θ. Ἐγένετο πλούσιος οὐκ ἀπὸ τοῦ αὐτομάτου οὐδὲ δόντος τινός. Πλ. — Ἀθηναῖοι ἐψηφίσαντο ναῦς ἑξήκοντα πέμπειν ἐς Σικελίαν καὶ στρατηγούς, βοηθοὺς μὲν Ἐγεσταίοις πρὸς Σελινουντίους, ξυγκατοικίσαι δὲ καὶ Λεοντίνους. Θ. — Ἀπέφαινε πολλὴν εὐπορίαν καὶ φύσει καρτερὸν ὂν τὸ χωρίον. Θ. Ἐπαινούμενοι μᾶλλον ἢ τοῖς ἄλλοις ἅπασι χαίρετε. Ξε. Οὐ ναυτικῆς στρατιᾶς μόνον δεῖ, ἀλλὰ καὶ πεζὸν πολὺν ξυμπλεῖν. Θ. — Ὁ Πεδάριτος αὐτός τε καὶ τὸ στράτευμα ἔχων προσέβαλε τῷ ἐρύματι. Θ. Παρεβοήθει μετά τε τοξοτῶν οὐ πολλῶν καὶ τοὺς Ἀργείους παραλαβών. Θ.*

A. 4. Einem Casus wird zuweilen ein Satz angeschlossen. *Τὸ γνῶθι σαυτόν ἐστιν ἂν τὰ πράγματα ἴδῃς τὰ σαυτοῦ καὶ τί σοι ποιητέον. Μέ. Δεῖξον τὸ ψήφισμα καὶ τίνες ἐγένοντό μου κατήγοροι. Δειν.* Vgl. § 51, 13 A. 5. — *Οἱ καθαρισταὶ σωφροσύνης τε ἐπιμελοῦνται καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσιν. Πλ. Ἔδεισε περί τε τοῖς ἐν Νισαίᾳ Πελοποννησίοις καὶ μὴ τὰ Μέγαρα ληφθῇ. Θ. — Ἐπιμέλειαν ἔξομεν τῶν πρὸς τὰς πόλεις διαπομπῶν ἅμα ἔς τε κατασκοπὴν καὶ ἤν τι ἄλλο φαίνηται ἐπιτήδειον. Θ. — Ἐναυμάχησαν ἀντίπαλα καὶ ὡς αὐτοὺς ἑκατέρους ἀξιοῦν νικᾶν. Θ. — Ἀρετὴ μισθοὺς τῇ ψυχῇ παρέχει ζῶντός τε τοῦ ἀνθρώπου καὶ ἐπειδὰν τελευτήσῃ. Πλ. [Παρεσκευάζοντο ὥσπερ τε προεδέδοκτο καὶ τῶν Συρακοσίων ἐναγόντων. Θ.]*

A. 5. Leicht schließt sich auch einem Particip ein sinnverwandter Satz an. *Ἀθηναῖοι ἐβούλοντο ἐπὶ Σικελίαν πλεύσαντες καταστρέψασθαι, ἄπειροι οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ ὅτι οὐ πολλῷ τινι ὑποδεέστερον πόλεμον ἀνηροῦντο ἢ τὸν πρὸς Πελοποννησίους. Θ. [Ἀνελόμενοι τὰ ναυάγια καὶ ὅτι αὐτοῖς οὐκ ἀντέπλεον, διὰ ταῦτα τροπαῖον ἔστησαν. Θ.] Διέβη ναῦς ξυλλέξων καὶ ὅπως ἄλλαι*

ναυπηγηθείησαν. Ξε. — Γνῶτε δύναμιν μεγίστην μέχρι τοῦδε κεκτημένην τὴν πόλιν, Ἑλλήνων τε ὅτι Ἕλληνες πλείστων δὴ ἤρξαμεν. Θ.

A. 6. Einem relativen Satz wird zuweilen ein selbstständiger angefügt, was auch Göthe u. A. sich öfter erlauben, während man sonst bei einer solchen Verbindung lieber wie auch, während u. ä. gebraucht. *Οὐκ ἤδη ἀνέγκλητος ἂν εἴης ἐν τῇ πατρίδι, ἥ σε τιμᾷ καὶ σὺ πράττεις τὰ κράτιστα. Ξε. — Ἐγὼ ἤδη σοι λέγω ὅτι ἣν ἄλλοι τε μακαριωτάτην ἐνόμιζον εἶναι βιοτὴν καὶ ἐγὼ συνεγίγνωσκον αὐτοῖς, ταύτην καὶ ἐγὼ νῦν ἔχων διάξω. Ξε. — Ἀνόητον ἐπὶ τοιούτους ἰέναι ὧν κρατήσας τε μὴ κατασχήσει τις καὶ μὴ κατορθώσας μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι ἔσται. Θ. — (Δαρεῖον Κῦρος μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς ἧς αὐτὸν σατράπην ἐποίησε καὶ στρατηγὸν δὲ ἀπέδειξε πάντων ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται. Ξε.) — Κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖ τὸ πρᾶγμα, οἵτινές σε οὐ διεσώσαμεν οὐδὲ σὺ σαυτόν. Πλ. — (Οὐδὲν προσδεόμεθα ἐπαινέτου ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει. Θ.)*

A. 7. Von selbst versteht es sich daß man verschiedene Tempora und Modi verband, wenn es sinngemäß war. *Οὐ πειθόμεθα αὐτοῖς ἀμφότερα, ἀλλ' εἰ θεοῦ ἦν, οὐκ ἦν, φήσομεν, αἰσχροκερδής. Πλ. Πολλάκις ἔβλαψε δόξα μεγάλα τ' εἴργασται κακά. Εὐ. Ἰδοῦσα ἔσχον θαῦμα καὶ περισκοπῶ. Σο.* Vgl. § 53, 2. — *Ἐγὼ ἐσκέφθαι φημὶ καὶ οὐκ ἂν ἀρνηθείην. Δη. Σὺ μήτ' ἀποτρέπου τἀληθὲς οὔτε κατατενῶ λίαν ἐγώ. Εὐ. Ἐγὼ ἀναιδὴς οὔτ' εἰμὶ μήτε γενοίμην. Δη.* Vgl. § 54, 8 A. 2.

A. 8. Leicht ist in manchen Verbindungen der Uebergang von einem Infinitiv zu einem selbstständigen Satze. *Λείπουσιν οἱ βάρβαροι ἀμαχητὶ τὸν μαστόν, ὥστε θαυμαστὸν πᾶσι γενέσθαι, καὶ ὑπώπτευον δεῖσαι αὐτούς. Ξε. Τὰ ἐπιτήδεια ἀνακεκομισμένοι ἦσαν, ὥστε μηδὲν αὐτόθεν λαμβάνειν τοὺς Ἕλληνας, ἀλλὰ διετράφησαν τοῖς κτήνεσιν ἃ ἐκ τῶν Ταόχων ἔλαβον. Ξε. Ξυνέβη ὥστε πολέμου μὲν μηδὲν ἔτι ἅψασθαι μηδετέρους, πρὸς δὲ τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον. Θ.*

(A. 9. Auffallender sind manche Uebergänge von einem Particip zu einem bestimmten Verbum. *Νόσῳ ἐπιέζοντο κατ' ἀμφότερα, τῆς τε ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης ἐν ᾗ ἀσθενοῦσιν ἄνθρωποι μάλιστα καὶ τὸ χωρίον ἅμα ἐν ᾧ ἐστρατοπεδεύοντο ἑλῶδες καὶ χαλεπὸν ἦν. Θ. Παρῆν ὁ Γαδάτας ἄλλα τε δῶρα πολλὰ καὶ παντοῖα φέρων καὶ ἄγων, ὡς ἐξ οἴκου μεγάλου, καὶ ἵππους δὲ ἦγεν. Ξε.*)

A. 10. Von der Construction mit ὅτι oder ὡς daß geht man zuweilen zu der mit dem Infinitiv über; selten umgekehrt. *Ἐσηγγέλθη αὐτοῖς ὡς εἴη Ἀπόλλωνος ἔξω τῆς πόλεως ἑορτή, καὶ ἐλπίδα εἶναι ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω. Θ. Ἔλεγε τοῖς προέδροις ὅτι ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἔσται· προαποπεμφθῆναί τε αὐτὸς τούτων ἕνεκα. Θ. [Διεβόων ὡς φθείρεται τὰ πράγματα· τὸν δ' αὖ Τισσαφέρνην τάς τε ναῦς οὐ κομίζειν καὶ ὅτι κακοῖ τὸ ναυτικόν. Θ.]*

§ 60. Ptotik.

1. Als Subject des Satzes steht der Nominativ vgl. § 45, 2; der Accusativ beim Infinitiv nur dann wenn es ein von dem Subject des Hauptverbums verschiedener Begriff ist. vgl. § 55, 2 mit den A.

A. 1. Ueber eigenthümliche Erscheinungen des No. § 45, 2 A. 1—4 und § 56, 9 A. 4.

A. 2. Ueber die Form des No. für die des Vo. § 45, 2 A. 5.

2. Das Prädicat steht in demselben Casus in welchem das Nomen von dem es ausgesagt wird steht oder stehen müßte.

A. 1. Es kann nämlich jenes Nomen oft fehlen, besonders beim Inf. nach § 55, 2 A. 4. 6 vgl. § 51, 6 A. 3. 4.

A. 2. Ueber den No. und Ac. bei *ὄνομά ἐστιν ἐμοί* § 48, 3 A. 6. Ueber den Prädicatsgenitiv § 57, 3 A. 1. 3. 4, beim absoluten Ge. § 47, 4; den prädicativen Ge. § 47, 6 vgl. eb. 8 A. 2 u. 9 A. 2. Selbst numerische Begriffe mit oder ohne Substantive können sich, statt im Ge. zu stehen, ihrem Nomen im Casus assimiliren vgl. § 47, 8 A. 2. Nothwendig ist diese Assimilation in dem Falle § 47, 28 A. 4. vgl. 50, 11 A. 1 u. 57, 3. *Ἡ τάξις ἦν ἑκατὸν ἄνδρες.* Xε. *Τὸ ὁπλιτικὸν ἠθροίσθη δισχίλιοι.* Θ. (*Οἱ Ἀρκάδες παρῆσαν πολλοὶ ὁπλῖται.* Xε.) *Φόρον τέσσαρα τάλαντα ἔφερον.* Θ. *Ξέρξης ἔσεισε πεντήκοντα μυριάδας στρατιάν.* Λυ. (*Τάφρος ἦν ὀρυκτὴ βαθεῖα, τὸ εὖρος ὀργυιαὶ πέντε.* Xε.)

3. Das Object bestimmen die Regeln § 46—48.

A. 1. Ueber die Abweichung durch Assimilation § 51, 10. 12.

A. 2. Was rücksichtlich der Rection von Simplicien bemerkt ist gilt auch von Compositen, so weit es nicht ausdrücklich beschränkt worden. Also z. B. wie *φεύγειν τινά* so auch *ἀποφεύγειν τινά* ꝛc. Ueber die Casusbestimmung durch Präpositionen s. unter diesen.

4. Zu mehrern Verben gehörige Substantive oder Pronomina werden bei etwaniger Verschiedenheit der bezüglichen Verhältnisse dem nächsten Verbum angefügt, oft auch da wo dieses eben nicht übergewichtliche Bedeutung hat.

[A. 1. Selten zur Erscheinung kommt die Regel, wenn das Nomen einmal im No., dann in einem obliquen Casus erforderlich ist. *Ἡμεῖς εἰ μέλλομεν τούτους εἴργειν, σφενδονητῶν τὴν ταχίστην δεῖ* (sc. *ἡμῖν*). Xε.]

[A. 2. Noch auffallender richtet sich sogar nach einem parenthesenartigen Satze mit *γάρ* ein vorangehendes Nomen, wenn es dem Begriffe nach diesem mit angehört, auch in der Construction nach demselben, statt

sich dem Hauptsatze anzufügen. Ein Sprachgebrauch der sich jedoch auf den Jonismus und einige Stellen des Thuc. beschränkt. *Τῶν Σαμίων ἦσαν γάρ τινες οἳ οὐχ ὑπέμειναν, ξυνθέμενοι ξυμμαχίαν διέβησαν ὑπὸ νύκτα ἐς Σάμον.* Θ.]

5. Wenn zwei verbundene Verba ein gemeinsames Object haben, so setzt es der Grieche auch dann wenn beide verschiedene Casus regieren regelmäßig nur Ein Mal, gewöhnlich in dem Casus welchen das zunächst stehende Nomen erfordert.

A. 1. So bei einer Verbindung durch *καί, οὐδέ, οὔτε — οὔτε.* (*Ἐνδεής ἐστι καὶ οὐκ ἔχει ὁ Ἔρως κάλλος.* Πλ.) — *Πρὸς τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε δυσκόλως ὥσπερ πρὸς τοὺς κακόν τι ἐργαζομένους.* Ἰσ. *Φαίνεται ὁ δῆμος ταῖς ἄλλαις πολιτείαις μαχόμενος καὶ καταλύων.* Ἰσ. — *Οὐ δεῖ τοῖς παιδοτρίβαις ἐγκαλεῖν οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων.* Πλ. — *Οὐχ ἑώρακα Πρωταγόραν πώποτε οὐδ' ἀκήκοα οὐδὲν* (sc. *αὐτοῦ*). Πλ. *Διέγνωκας ὅτι πάντως συνεστέον Πρωταγόρᾳ, ὃν σύτε γιγνώσκεις οὔτε διείλεξαι οὐδεπώποτε, σοφιστὴν δ' ὀνομάζεις.* Πλ. *Ἵππον οὐκ ἂν οἰηθεῖμεν ὃν οὔθ' ἑρῶμεν οὔθ' ἁπτόμεθα.* Πλ.

A. 2. Am häufigsten erscheint die Regel bei Verbindung eines Particips und seines Verbums. *Ἀνόητον ἐπὶ τοιούτους ἰέναι ὧν κρατήσας μὴ κατασχήσει τις.* Θ. (*Λύπη οὖ ἂν ἐθὰς γενόμενος ἀφαιρεθῇ τις.* Θ.) *Τοῖς θεοῖσι χρὴ θύοντας αἰτεῖν τἀγαθά, μαντείας δ' ἐᾶν.* Εὐ. *Τὰ τῶν θεῶν ἔχοντες ἐπιμελούμεθα.* Εὐ.

A. 3. Doch kann auch das entferntere Verbum, wenn es bedeutsamer ist, den Casus des gemeinsamen Objects bestimmen; dies selbst bei einer Verbindung mit *καί* oder *δέ*. *Βάλλειν δεήσει ἀναιρουμένους ταῖς βώλοις.* Ξε. — *Ἐγὼ ὑμᾶς ἐγείρων καὶ πείθων καὶ ὀνειδίζων ἕνα ἕκαστον οὐδὲν παύομαι.* Πλ. *Πᾶς πάντα καὶ διεδίδασκε καὶ ἐπέπληττε τὸν μὴ καλῶς αὐλοῦντα.* Πλ. — *Ἐπιτιμᾷ καὶ ἀποδοκιμάζει τῶν ἀρχόντων τισίν.* Αν. *Ἀντεῖπον καὶ ἐλοιδόρησα ἐκείνῳ ὧν ἦν ἄξιος.* Ἀνδ. — *Φαίνεται ἡ ψυχὴ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα ταῖς ἐπιθυμίαις.* Πλ. [Vgl. Pflugk zu Eur. Herakl. 227 u. Lobeck zu Soph. Aj. 476 S. 268.]

A. 4. Von selbst versteht es sich daß, wenn die verbundenen Verba denselben Casus regieren, das gemeinsame Object nur Ein Mal gesetzt wird. *Ἐν φρονίμοις περὶ τῶν μεγίστων τἀληθῆ εἰδότα λέγειν ἀσφαλές.* Πλ. *Ἡ τοῦ σώματος νοσοτροφία ἀπείργουσα αὐτὸν τῶν πολιτικῶν κατέχει.* Πλ.

A. 5. Auch von einer Präposition regiert kann ein Nomen als Object (als bloßer Ac.) zu einem Verbum mit gehören. *Μέρος τι πέμψας πρὸς τὸ φρούριον αἱρεῖ.* Θ. *Οὐδὲν φροντίζει ἐξ ὁποίων ἄν τις ἐπιτηδευμάτων ἐπὶ τὰ πολιτικὰ ἰὼν πράττῃ.* Πλ.

A. 6. Ueber relative und interrogative Objecte § 51, 9 A. 2. 17 A. 4 ff.

6. Wenn einem relativen Satz ein zweiter durch eine copulative und adversative Conjunction angeschlossen wird, so pflegt man das Relativ bei diesem nicht zu wiederholen; sondern läßt es entweder ergänzen oder dafür ein entsprechendes

demonstratives oder erforderlichen Falls ein persönliches Pronomen eintreten. *Ἆρα μετ' ἐκείνου ἡμῖν βιωτὸν διεφθαρμένου ᾧ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν. Πλ.*

A. 1. Am regelmäßigsten ist die Auslassung, wenn ein No. zum zweiten Satze erforderlich wäre. *Δοκεῖ τοῖς πολλοῖς ἀνθρώπους ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων μηδὲ μετέχει αὐτῶν οὐκ ἄξιον εἶναι ζῆν. Πλ. Τούτοις ἅπασιν ἐκεῖνοι οἷς τι μέλει τῆς αὑτῶν ψυχῆς, ἀλλὰ μὴ σώματα πλάττοντες ζῶσι χαίρειν εἰπόντες οὐ κατὰ ταὐτὰ πορεύονται αὐτοῖς. Πλ. — Ἡμᾶς, οἷς κηδεμὼν μὲν οὐδεὶς πάρεστιν, ἐστρατεύσαμεν δ' ἐπ' αὐτόν, τί ἂν οἰόμεθα παθεῖν; Ξε.*

A. 2. Als obliquer Casus wird beim zweiten Satze das persönliche Pronomen nothwendig, das demonstrative (gew. ein Casus von *αὐτός*), wenn die Deutlichkeit es erfordert, gesetzt. *Οἰκία πολὺ μείζων ἡ ὑμετέρα τῆς ἐμῆς, οἵ γε οἰκίᾳ μὲν χρῆσθε γῇ τε καὶ οὐρανῷ, κλῖναι δ' ὑμῖν εἰσιν ὁπόσαι γένοιντ' ἂν εὐναὶ ἐπὶ τῆς γῆς. Ξε. Καὶ νῦν τί χρὴ δρᾶν, ὅστις ἐμφανῶς θεοῖς ἐχθαίρομαι μισεῖ δέ μ' Ἑλλήνων στρατός. Σο. — Ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει αἴσχρ' ἐστὶν αὐτοῦ, τοῦτον οὐκ αἰνῶ ποτε. Εὐ. Φήσουσί τινές με διεξιέναι τοὺς νόμους οὓς Λυκοῦργος μὲν ἔθηκε, Σπαρτιᾶται δ' αὐτοῖς χρώμενοι τυγχάνουσιν. Ἰσ. Οὐκ ἐπιτρέψομεν ὧν φαμεν κήδεσθαι καὶ δεῖν αὐτοὺς ἄνδρας ἀγαθους γενέσθαι γυναῖκα μιμεῖσθαι ἄνδρας ὄντας. Πλ. — (Ἃ δι' ἑτέρων ἐπραχθη καὶ οὐ χαλεπὸν ἦν περὶ τούτων πυθέσθαι, ἐτόλμησε ψευσάμενος τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὐτοῦ θυγατριδοῦς ζημιῶσαι. Λυ. Πολλαὶ πράξεις ἤδη τοιαῦται γεγόνασιν ἃς ἐν ἀρχῇ μὲν ἅπαντες ὑπέλαβον εἶναι συμφορὰς καὶ τοῖς παθοῖσι συνηχθέσθησαν, ὕστερον δὲ τὰς αὐτὰς ταύτας ἔγνωσαν μεγίστων ἀγαθῶν αἰτίας γεγενημένας. Ἰσ.) — Ἀριαῖος, ὃν ἡμεῖς ἠθέλομεν βασιλέα καθιστάναι καὶ ἐδώκαμεν καὶ ἐλάβομεν πιστὰ μὴ προδώσειν ἀλλήλους, καὶ οὗτος νῦν ἡμᾶς κακῶς ποιεῖν πειρᾶται. Ξε.*

A. 3. Ein ähnlicher Gebrauch findet sich auch bei Verbindung eines Particips mit einem Verbum. *Βούλομαί σοι κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι ὅσαις ἐγὼ χρώμενος, ὅτ' ἦν ἰδιώτης, νῦν, ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν. Ξε.*

[A. 4. Sehr selten erscheint auch im zweiten Satze ein Relativ, wie Thuc. 6, 4. 89, Plat. Euthyd. 278, e; dagegen in der Anaphora Eur. Bacch. 443 u. öfter.]

7. Zu ergänzen ist im Griechischen sehr häufig sowohl das Subject als das Object, beide besonders wenn sie als wenig betonte persönliche Pronomina, einen kurz vorher erwähnten Begriff erneuernd, eintreten würden, aus dem Zusammenhange sich von selbst ergebend: er, sie, es; ihn, sie, es, demselben, derselben.

A. 1. Ueber das Subject der dritten Person § 51, 5 A. 3. Auch das zu ergänzende Object ist gewöhnlich ein Pronomen der dritten Person: *αὐτόν, αὐτῷ* ꝛc. Von der ersten und zweiten Person fehlt häufig nur der (im Verbum enthaltene) Nominativ vgl. § 51, 1; selten ein obliquer Casus. *Πολλοὶ οὕτω πρός τινας ἔχουσιν ὥστε κακῶς μὲν πράττοντας* (sc. *αὐτούς*) *μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν*

(sc. αὐτοῖς), εὐτυχούντων δὲ (sc. αὐτῶν) λυπεῖσθαι. Ξε. — Ἐμπιπλὰς ἁπάντων τὴν γνώμην ἀπέπεμπεν (sc. αὐτούς). Ξε. Ἐπαγγειλαμένου τοῦ Ἀγησιλάου τὴν στρατειαν διδόασιν (sc. αὐτῷ) οἱ Λακεδαιμόνιοι ὅσαπερ ᾔτησεν. Ξε. Ἀὶ δοκοῦσι κάλλισται τῶν ἐπιστημῶν καὶ ἐμοὶ πρέποιεν ἂν μάλιστα ἐπιμελομένῳ (sc. αὐτῶν), ταύτας μοι ἐπιδείκνυε. Ξε. Ἤν τις μαλακύνηται, μὴ ἐπιτρέπετε (sc. τοῦτο αὐτῷ). Ξε. Τοῦτο ἔμοιγε φαίνεται ὅτι οὐ πᾶσά γε καρτερία ἀνδρία σοι φαίνεται. τεκμαίρομαι δὲ (sc. τοῦτο) ἐνθένδε. Πλ. — Μὴ οἷον τὰ μόνα ἡμῖν ἀγαθὰ ὄντα ὑμῖν παραδῶσειν (sc. ἡμᾶς). Ξε. Vgl. § 47, 4 A. 3 und § 51, 6 A. 3. 4.

A. 2. Aehnlich iſt zuweilen aus einem vorhergehenden Adjectiv ein Prädicatsaccuſativ zu ergänzen. *Ποιητὴς ὁ Ἔρως σοφὸς οὕτως ὥσιε καὶ ἄλλον ποιῆσαι* (sc. σοφόν). *Πλ. Ξύνισμεν ὡς οἱ σοφισταὶ αὐτοί τε ἀντειπεῖν δεινοὶ τούς τε ἄλλους ὅτι ποιοῦσιν* (sc. δυνατοὺς) *ἅπερ αὐτοὶ δυνατοί. Πλ.*

(A. 3. Bei manchen Verben ſchwebt ein Nomen vor deſſen Begriff ſie ſelbſt anregen. So zuweilen auch ein Nomen mit einer Präpoſition. *Αὐτός τε ἔσπενδε καὶ τοῖς νεανίσκοις ἐγχεῖν* (sc. οἶνον) *ἐκέλευσεν. Ξε. Ξενοφῶν ὑπελάσας ἤρετο εἴ τι παραγγέλλοι· ὁ δ' ἐπιστήσας* (sc. τὸν ἵππον) *εἶπεν. Ξε. Παρήγγελλε τοὺς τοξότας ἐπιβεβλῆσθαι* (sc. τὰ τοξεύματα) *ἐπὶ ταῖς νευραῖς. Ξε. — Τῶν ἱππέων τῶν μὲν ἔτι καταβεβηκότων* (sc. ἀπὸ τῶν ἵππων), *τῶν δ' ἀναβαινόντων* (sc. ἐπὶ τοὺς ἵππους) *ἐπελαύνουσιν. Ξε.)*

A. 4. Bei andern Verben kann ein ihnen ſinnverwandtes Nomen als Object gedacht werden. *Ἤμπων* (sc. ἄγγελον) *ἐκέλευε τὰ ὅπλα παραδιδόναι. Ξε. Αὐτόμολοι ἀπήγγελλον* (sc. ἀγγελίαν) *Κύρῳ περὶ τῆς στρατιᾶς. Ξε. Ὁρῶσιν οἱ διδόντες εἰς τὰ χρήματα. Εὐ. Ὅταν ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων; Εὐ.*

A. 5. Bei einigen Verben ſchweben ganz unbeſtimmte ſachliche Objecte vor. § 52, 1 A. 2. *Θεράπευε τὸν δυνάμενον, ἄνπερ νοῦν ἔχῃς. Γν. Τὰ μὴ δυνάμενα τῶν ὑποζυγίων ἥρπαζον. Ξε. Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν, ἀλλ' ἀντιτάττεσθαι. Μέ.*

A. 6. Aehnlich kann ein allgemeiner perſönlicher Begriff, wie *τινά, ἀνθρώπους* als Object bei einem geſetzten Prädicat vorſchweben. *Τὰ κακῶς τρέφοντα χωρὶ' ἀνδρείους ποιεῖ. Μέ. Τὸ μὲν θάρσος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει, ὁ δὲ φόβος προσεκτικωτέρους τε καὶ εὐπειθεστέρους καὶ εὐτακτωτέρους ποιεῖ. Ξε.* Vgl. § 52, 1 A. 3 und 55, 2 A. 6.

8. In einzelnen Verbindungen ſtehen Präpoſitionen mit ihrem Caſus im Verhältniſſe eines bloßen Caſus: *περὶ εἴκοσιν ἀπέθανον, ἀπέκτειναν* ungefähr zwanzig fielen, tödteten ſie.

A. 1 So gebrauchte man bei Zahlen *εἰς* gegen und *περί* ungefähr mit dem Ac. allgemein als No., als Ac. und als Subjectsgenitiv. *Ξυνεβοήθησαν εἰς εἴκοσι μάλιστα ἱππέας. Θ. Ἀπέθανον αὐτῶν περὶ τριακοσίους. Ξε. Ξυνελέγησαν ὁπλῖται τῶν Λακεδαιμονίων ἐς ἑξακοσίους. Ξε. — Διέφθειραν ἐς ὀκτακοσίους. Θ. — (Περιτυγχάνουσι τοῖς λελυμένοις, ὡς περὶ ἑκατὸν οὖσιν. Ξε.) — Ἤδη συνειλεγμένων ὡς περὶ ἑπτακοσίους λαβὼν αὐτοὺς καταβαίνει.*

Ξε. Ἦν καταπληξις παρὰ τοῖς πολιορκουμένοις, καιπερ ὄντων τῶν μισθοφόρων εἰς μυρίους. Πολ.

[A. 2. Aehnlich findet ſich *ἐπὶ δέκα σταδίους* eine Strecke von zehn Stadien als No. und als Ac., auch mit einem davon regierten Ge. Man denke ſich dies wie *ἐπὶ δέκα σταδίους τι*, entſprechend einem *τὸ ἐπὶ δ. σι. Κατεσκάφη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα σταδίους ἑκατέρου. Λυ. — Ἦν ἀντὶ τοῦ ἐπὶ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν ὅλα τὰ μακρὰ τείχη διασκάψαι. Λυ. Προὐκαλοῦντο τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκατέρου. Ξε.*]

[A. 3. Ebenſo gebraucht beſonders Thuc. *ἐπὶ πολύ* eine weite Strecke hin, *ἐπὶ μέγα* einen großen Theil. Vgl. § 68, 42 A. 1. *Ἀπέφαινεν ἐρῆμον ὂν τὸ χωρίον αὐτό τε καὶ ἐπὶ πολὺ τῆς χώρας. Θ. Ἐσεσιδήρωτο ἐπὶ μέγα τοῦ ξύλου. Θ.*]

[A, 4. Aehnlich findet ſich beſonders bei Thuc. auch das diſtributive *κατά* mit dem Ac., z. B. in *καθ' ἑκάστους* und *καθ' ἕκαστον*, im Verhältniſſe eines (Ac.) No. od. Da.: die, den einzelnen, im Einzelnen. *Ἐνθυμεῖσθε καθ' ἑκάστους τε καὶ ξύμπαντες. Θ. Βραχυτάτῳ ἂν κεφαλαίῳ τοῖς τε ξύμπασι καὶ καθ' ἕκαστον τῷδ' ἂν μὴ προέσθαι ἡμᾶς μάθοιτε. Θ. Ὁ Νικίας κατά τε ἔθνη, ἐπιπαριὼν ἕκαστα, καὶ ξύμπασι τοιάδε παρεκελεύετο. Θ.*]

9. Ueber den Infinitiv im Caſusverhältniſſe § 50, 6 A. 1—9.

10. Als Caſus erſcheinen häufig auch Sätze.

A. 1. Selbſtſtändige Sätze in der Regel nur wenn durch den Artikel ſubſtantivirt nach § 50, 6 A. 10; relative meiſt ohne denſelben nach § 51, 13 A. 1—6, ſelten mit dem Artikel § 50, 8 A. 20. Aehnlich finden ſich auch hypothetiſche oder temporale Sätze. *Βίος ἐστὶν ἄν τις τῷ βίῳ χαίρῃ βιῶν. Γν. Τὸ ἐχυρὸν τοῖς ξυναγωνιουμένοις οὐ τὸ εὔνουν τῶν ἐπικαλεσαμένων φαίνεται, ἀλλ' ἢν τῶν ἔργων τις δυνάμει πολὺ προὔχῃ. Θ. Σοφιστῇ μισθὸς κάλλιστός ἐστι καὶ μέγιστος ἢν τῶν μαθητῶν τινες καλοὶ κἀγαθοὶ καὶ φρόνιμοι γένωνται Ἰσ. — Φιλανθρωπίᾳ οὐκ ἀφαιρήσεσθε ἤν τι ἐᾶτε αὐτοὺς ἔχειν. Ξε. — Τὸ σπεύδειν σοι καὐτῷ παραινῶ κεἴ (καὶ εἴ) τινος κήδει πέρι. Σο. — (Δουλοῖ ἄνδρα ὅταν ξυνειδῇ μητρὸς ἢ πατρὸς κακά. Εὐ.* Vgl. Aeſch. 3, 88. 124.)

A. 2. In ſolchen Verbindungen findet ſich zuweilen *εἴ τις* ohne Verbum, als das bald *εἶναι* zu ergänzen, bald das Verbum des Hauptſatzes wiederholt zu denken iſt. (Von dieſer Weiſe aus iſt wie *ὅστις*, *ὁπότερος* auch *εἴ τις* völlig adjectiviſch geworden: *ὅτου δὴ* oder *εἴ του πείθοντος* eig. ſo v. a. *πείθοντος ὅστις δὴ ἔπειθε*, dann ſchlechtweg gleich mit *πείθοντός τινος*. Vgl. § 51, 15 A. 1.) *Τῶν νέων τινὰ αἱρήσει, Θεαίτητον τόνδε ἢ καὶ τῶν ἄλλων εἴ τις σοι κατὰ νοῦν. Πλ. — Οἱ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων καὶ τῆς χιόνος καὶ εἴ τις νόσῳ. Ξε. Οὐκ ἀπέθανον αὐτῶν πλὴν εἴ τις ἐν τῇ ξυμβολῇ ὑπὸ Τεγεατῶν. Ξε. — Πάντας ἐξῆγεν, ἐλαύνοντας βοῦς, αἶγας, οἷς, σῦς καὶ εἴ τι βρωτόν. Ξε. — (Πολεμοῦνται ἀσαφῶς ὁποτέρων ἀρξάντων. Θ. Ἐξῆν ὁποτεροισοῦν προκαλεσαμένοις διαμάχεσθαι. Θ.)*

Zweiter Abschnitt: Von den Sätzen.

§. 61. Subject und Prädicat.

I. Das Subject an sich.

1. Das Subject eines Satzes ist entweder persönlich oder unpersönlich. Das persönliche Subject der ersten und zweiten Person wird, wenn es nicht betont ist, bloß durch die Form des Verbums ausgedrückt. Vgl. § 60, 7 A. 1.

2. Für die erste Person des Singulars gebrauchte man auch, in der Prosa jedoch selten, die erste Person des Plurals.

A. 1. Dies geschah ursprünglich wohl in sofern der Sprechende seine Angehörigen mit betheiligt dachte. Doch bald erlosch diese Beziehung und es finden sich nicht bloß sehr plötzliche Wechsel beider Numeri, sondern auch (bei Tragikern) auffallende Vermischungen. Ὡς Κῦρος ἐπὶ τὸ φιλεῖσθαι δοκεῖ ἡμῖν ἐλθεῖν, τοῦτο πειρασόμεθα διηγήσασθαι. Ξε. — (Οὐ δικαίως, ἢν θάνω, θανούμεθα. Εὐ. — Ἥλιον μαρτυρόμεθα δρῶσ' ἃ δρᾶν οὐ βούλομαι. Εὐ.)

A. 2. Eben so finden sich auch die obliquen Casus von ἡμεῖς für die von ἐγώ. Οὐδ' ἀμελεῖν ἡμῶν ἐθέλουσιν, ἀλλ' ἀεί τι φλαῦρον περὶ ἐμοῦ λέγουσιν. Ἰσ.

3. Die zweite Person des Singulars wird auch, gleichsam ideell, an jeden bezüglichen Hörer oder Leser gerichtet, für unser man gebraucht.

A. 1. Dieser Gebrauch ist bei weitem nicht so ausgedehnt wie im Lateinischen, meist beschränkt auf Verbindungen wie εἶδες ἄν cernes, man hätte sehen können, ἤγήσω ἄν man hätte glauben sollen, ἤγήσαιο ἄν credideris, man möchte glauben u. ä. vgl. § 54, 3 A. 10. Ὧν ζῶντες ἠγγελμένοι ἦσαν οἱ προσήκοντες, ὀλίγους ἂν εἶδες. Ξε. Ἐπέγνως ἂν ἐκεῖ οὐδένα οὔτε ὀργιζόμενον κραυγῇ οὔτε χαίροντα ὑβριστικῶς γέλωτι, ἀλλ' ἰδὼν ἂν αὐτοὺς ἡγήσω τῷ ὄντι ἐς κάλλος ζῆν. Ξε. Ὁρῶν ταῦτα ἡγήσαιο ἂν Λακεδαιμονίους μόνους τῷ ὄντι τεχνίτας τῶν πολεμικῶν εἶναι. Ξε. [Ἐν ἴσῳ χρόνῳ ἄλλῳ ἤξεις εἰς τοὺς Αὐτομόλους ἐν ὅσῳπερ ἐξ Ἐλεφαντίνης ἦλθες ἐς τὴν μητρόπολιν τῶν Αἰθιόπων. Ἡρ.]

(A. 2. Aehnlich findet sich auch in Vorträgen die an eine Menge gerichtet sind εἰπέ μοι, in sofern ein Individuum als Repräsentant Aller gedacht wird. Εἰπέ μοι τί τοῦτ' ἀπειλεῖ τοὔπος ἄνδρες δημόται. Ἀρ.)

4. Das Subject der dritten Person wird wo wir ein unbetontes er, sie, es, sie, auf einen vorhergehenden Begriff bezogen, gebrauchen, gleichfalls nicht gesetzt. Vgl. § 60, 7 A. 1.

(A. 1. Sogar aus einem Plural kann der Singular als Subject ergänzt werden. *Οὐδεὶς κολάζει τοὺς ἀδικοῦντας τούτου ἕνεκα ὅτι ἠδίκησεν.* Πλ.)

A. 2. Bei Gegensätzen ist nach *ἀλλά* [und *δέ*] aus einem vorhergehenden *οὐδείς* oder *μηδείς* als Subject *ἕκαστος* zu denken. *Ἐμοὶ οὐδεὶς δοκεῖ εἶναι, πένης ὢν, ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.* Σο. *Μηδεὶς φθόνῳ τὸ μέλλον ἀκούσῃ, ἀλλ' ἂν ἀληθὲς ᾖ σκοπείτω.* Δη.

A. 3: Ganz fehlen kann das Subject der dritten Person, wenn eine einzelne Handlung von einer Person herrührt deren regelmäßiges Geschäft diese Thätigkeit ist. *Ἡνίκα ἂν ὥρα ᾖ, σημανεῖ* (sc. *ὁ σαλπιγκτής*) *τῷ κέρατι.* Θ. *Ἐκήρυξε* (sc. *ὁ κῆρυξ*) *τοῖς Ἕλλησι συσκευάζεσθαι.* Ξε. (*Ὠδυνήθην ὅτε δὴ 'κεχήνη προσδοκῶν τὸν Αἰσχύλον. ὁ δ' ἀνεῖπεν· εἶσαγ' ὦ Θέογνι τὸν χορόν.* Ἀρ.) *Τὸν νόμον ὑμῖν ἀναγνώσεται* (sc. *ὁ γραμματεύς*). Δη.

A. 4. So ergänzte der Grieche *θεός* oder *Ζεύς* zu *ὕει* (hinzugefügt Il. *μ*, 25), *νίφει, ἀστράπτει*, [*καθὸ ἡ τοιαύτη ἐνέργεια ἐξαιρέτως τῷ Διὶ ἀναπέμπεται* Apoll. Syn. 2, 5.] Auch findet sich z. B. *ὁ θεὸς ὕει* Her. 2, 13. 3, 117, *χειμάζει* Xen. Dek. 8, 16, *σείει* Ar. Lys. 1142. Selbst *συσκοτάζει* ist wohl hieher zu ziehen [vgl. Polyb. 31, 21: *συσκοτάζοντος ἄρτι τοῦ θεοῦ*]. Für unser es regnet etc. sagte man, entsprechend dem *ποιεῖ* (*ὁ θεὸς*) *ὕδωρ, ὑετόν* (Ar. Wesp. 261. 63 vgl. Xen. Dek. 20, 11: *ὕδωρ ὁ ἄνω θεὸς παρέχει*), *γίγνεται ὕδωρ* (Thuc. 6, 70 vgl. 2, 5 und Lex. Xen. u. *ὕδωρ*), mit *ἄνωθεν* (4, 75), *πολὺ ἐξ οὐρανοῦ* (2, 77) wie *ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ* (Xen. An. 4, 2, 2). Eben so von Schnee und Hagel *γίγνεται χιών* (eb. 4, 4, 8), *χάλαζα* (Hell. 4, 5, 4) wie von Donner und Blitz *γίγνονται βρονταὶ καὶ ἀστραπαί* (Thuc. 6, 70 vgl. 2, 77).

A. 5. Ohne Subject findet sich die dritte Person des Singulars für unser man, wenn schon ein Satz vorhergegangen bei dem ein allgemeiner Begriff wie *τις* (*τινά*) vorschwebt. *Ἡδὺ τὸ οἴεσθαι τεύξεσθαι ὧν ἐφίεται.* Ἀρλ. *Οὐκ ἔστιν ὀρθῶς ἡγεῖσθαι, ἐὰν μὴ φρόνιμος ᾖ.* Πλ. *Δεῖ αὐτὸν ἑαυτὸν μάλιστα φυλάττειν ὅπως μὴ ἀδικήσει.* Πλ. *Ἐκείνη καλλίστη ἀπαλλαγή, ἑαυτὸν παρασκευάζειν ὅπως ἔσται ὡς βέλτιστος.* Πλ.

(A. 6. Auf ein so vorschwebendes *τις, τινές* oder *ἄνθρωποι* kann sich ein Casus (meist ein obliquer) von *αὐτός, ἑαυτοῦ* beziehen, selbst in einem Nebensatze. *Οὐκ ἔνι αὐτὸν ἀργοῦντα οὐδὲ τοῖς φίλοις ἐπιτάττειν, μήτι γε τοῖς θεοῖς.* Δη. *Ἡδὺ ἀνδρεῖόν τι καὶ καλὸν εἰπόντα καὶ ποιήσαντα μνήμην ἐν οἷς ἐθέλει παρέχειν ἑαυτοῦ.* Ξε. — *Οὐ δεῖ ἐπὶ τὸ αὐτίκα ἡδὺ προϊέναι αὑτούς.* Ξε. *Ἡ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐγκαλεῖν.* Ξε. — *Τῆς ζημίας μεγίστη τὸ ὑπὸ πονηροτέρου ἄρχεσθαι, ἐὰν μὴ αὐτὸς ἐθέλῃ ἄρχειν.* Πλ. *Αἰσχρὸν νενόμισται μὴ φάναι συμβουλεύειν, ἢν μή τις αὐτῷ ἀργύριον διδῷ.* Πλ. *Τὼ ἄνδρε οἵω τε ποιῆσαι δυνατὸν εἶναι αὐτὸν αὑτῷ βοηθεῖν ἐν τοῖς δικαστηρίοις, ἄν τις αὐτὸν ἀδικῇ.* Πλ.

A. 7. Auch die dritte Person des Plurals des Präsens steht ohne Subject für unser man, in sofern die Handlung von Menschen allgemein, wenn auch unbestimmt, ausgesagt wird, besonders bei Verben der

Aeußerung. Eben ſo das Imperfect von Berichterſtattern. vgl. § 53, 2 A. 2. *Πόνος, ὡς λέγουσιν, εὐκλείας πατήρ. Εὐ. Καὶ δὶς καὶ τρὶς φασι καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ ἐπισκοπεῖσθαι. Πλ. — Οὔ που ἀμαθίᾳ γε, ἀλλ' ἐπιστήμῃ εὖ βουλεύονται. Πλ. Τὰς σπουδὰς οἴονται δεῖν ἕνεκα παιδιῶν γίγνεσθαι. Πλ. Ἐνόμισεν, ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσιν, πάντα ἔτι σφίσιν ἐνδεᾶ εἶναι. Θ. — Ἧι ἐπὶ Ποτίδαιαν ἔρχονται προσεκάθητο τῇ πόλει. Θ.*

5. Ohne Subject ſteht die dritte Perſon in ſofern unbeſtimmt ein allgemeiner Begriff von Menſchen oder von einer Sache vorſchwebt: irgend wer, irgend welche, etwas.

5. Selbstständige interrogative Sätze werden theils bloß durch den Ton (nach dessen Angabe dem Fragezeichen) als solche ausgesprochen; theils durch einen Fragepartikel, wie *οὔ, ἦ, ἆρα, μή, μῶν,* eingeführt; theils haben sie ein adjectivisches oder adverbiales Fragewort. *Ἕλληνες ὄντες βαρβάροις δουλεύσομεν; Εὐ. Οὐκ εἰκὸς ὕστατα ἀφικνεῖσθαι τὰ βραδύτατα; Πλ. Ζῶα οὐ ταῦτα καλεῖς ἃ ἂν ψυχὴν ἔχῃ; Πλ. Τί τὸ σιέρεσθαι πατρίδος, ἦ κακὸν μέγα; Εὐ. Ἆρ' ὄφελός τι τῶν ἄλλων κτημάτων ἄνευ φρονήσεως καὶ σοφίας; Πλ. Τῶν πολλῶν καλῶν μῶν τί ἐστιν ὃ οὐκ αἰσχρὸν φανήσεται; Πλ. — Οἳ φαίνονται καὶ λέγοντες ἃ μὴ ἴσασι καὶ πράττοντες πότερά σοι δοκοῦσιν ἐπὶ τοῖς τοιούτοις ἐπαίνου μᾶλλον ἢ ψόγου τυγχάνειν καὶ πότερον θαυμάζεσθαι μᾶλλον ἢ καταφρονεῖσθαι; Ξε. Πῶς ἡμῖν ἔχεις; Γν. — Ἔστι προσενεγκεῖν τὰ ὀνόματα τοῖς πράγμασιν ὧν μιμήματά ἐστιν ἢ οὔ; Πλ. Πᾶς οἶδεν ὁποῖα ὁποίοις δυνατὰ κοινωνεῖν ἢ τέχνης δεῖ τῷ μέλλοντι δρᾶν ἱκανῶς αὐτά; Πλ. — Στρατεύοιτο πότερος ἂν ᾖον, ὁ μὴ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν ἢ ᾧ τὸ παρὸν ἀρκοίη; Ξε. Ποτέρως ἂν μᾶλλον ἄνθρωποι σωφρονοῖεν, ἀργοῦντες ἢ τῶν χρησίμων ἐπιμελούμενοι; Ξε. Ποτέρως ἄν με κρίναις ἀξιοφίλητον μᾶλλον εἶναι, εἴ σοι αὐτὰ τὰ ὄντα ἀποδεικνύοιμι ἢ εἴ σε πειρῴμην ἐξαπατᾶν; Ξε. Τίς ὁ γνωσόμενος; ὁ ποιήσας ἢ ὁ χρησόμενος; Πλ. — Φαίνεται φύσει τινὰ ὀρθότητα ἔχον εἶναι τὸ ὄνομα· ἢ οὔ; Πλ.*

A. 1. Ueber Fragen wie *πῶς οἶδα* § 54, 1 A. 3; *τί λέγομεν, λέξομεν, λέγωμεν* ꝛc. § 53, 1 A. 9 7 A. 2 — 5; *οὐ παιήσειε*; § 53, 7 A. 4. Ueber die interrogativen Pronomina und Adverbia bei einzelnen Begriffen § 51, 17 A. 4. 5; in abhängigen Sätzen eb. A. 7; mehrere verbunden eb. A. 10.

A. 2. Das direct und indirect gebräuchliche *πότερον*, seltener *πότερα*, ist ursprünglich ein Ac. nach der Analogie von *δυοῖν θάτερον* u. ä., meist nur in Gegenfragen vorkommend. Vgl. § 57, 10 A. 11. *Πότερον αἱ γυναῖκες ἐν ταῖς πόλεσι φρονιμώτεραί σοι δοκοῦσιν εἶναι ἢ οἱ ἄνδρες, ὡς τὸ ὅλον εἰπεῖν γένος; Οἱ ἄνδρες. Πλ. Πότερον ἐξήταχας τοῦτο ἢ πῶς οἶσθα; Ξε. Πότερον φῶμεν τι εἶναι αὐτὸ καλὸν καὶ ἀγαθὸν ἢ μή; Πλ.*

A. 3. Schon durch den Ausdruck der Frage selbst deutet man häufig an ob man das Gefragte bejaht oder verneint zu sehen erwarte. So setzen *οὔ, οὔκουν* eine Bejahung, *μή, μῶν, ἆρα* eine Verneinung voraus, zuweilen jedoch auch eine Bejahung; unentschieden ist *ἦ*. Genaueres über diese Partikeln unten § 69.

A. 4. An Ausdrücken für Bejahung und Verneinung ist das Griechische ungemein reich. Als solche erscheinen außer vielen Adverbien *φημί* ich bejahe es, *οὐ φημι* ich verneine es, das concessive *ἔστω* vgl. § 54, 4 A. 2, die Wiederholung des in Frage gestellten Begriffes, des persönlichen Pronomens mit *γέ* und ganze Sätze. *Ἆρ' ὢν ἦν τι ἔργον; Ναί. Πλ. Ψυχὴν οὐ τὴν ἀν-*

δρειοτάτην καὶ φρονιμωτάτην ἥκιστ' ἄν τι ἔξωθεν πάθος ταράξειεν; Ναί. Πλ. — Ἀνθρώπους μὴ οὕτω φῶμεν βλαπτομένους εἰς τὴν ἀνθρωπείαν ἀρετὴν χείρους γίγνεσθαι; Πάνυ μὲν οὖν. Πλ. Φιλόσοφος τὴν φύσιν ἔσται ὁ μέλλων καλὸς κἀγαθὸς ἔσεσθαι φύλαξ πόλεως; Παντάπασι μὲν οὖν. Πλ. Οὐκ οἶσθα ὅτι ἀρχὴ παντὸς ἔργου μέγιστον, ἄλλως τε καὶ νέῳ καὶ ἁπαλῷ ὁτῳοῦν; μάλιστα γὰρ δὴ τότε πλάττεται καὶ ἐνδύεται τύπος ὃν ἄν τις βούληται ἐνσημήνασθαι ἑκάστῳ. Κομιδῇ μὲν οὖν. Πλ. — Εὐδαίμονας λέγεις οὐ τοὺς τἀγαθὰ καὶ τὰ καλὰ κεκτημένους; Πάνυ γε. Πλ. Οὐ τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; Παντάπασί γε. Πλ. Τί τὸ ζῆν; ψυχῆς φήσομεν ἔργον εἶναι; Μάλιστά γε. Πλ. — Ἡ περὶ τὸν πόλεμον ἀγωνία οὐ τεχνικὴ δοκεῖ εἶναι; Καὶ μάλα. Πλ. — Τόδε μοι εἰπέ· ὕβρει τε καὶ ἀκολασίᾳ ἐστὶ τις κοινωνία; Πάντων μάλιστα. Πλ. — Ὁ ἐπιστήμων σοφός; Φημί. Πλ. — Οὐ τήν γε ὠφέλειαν ἑκάστης τῆς τέχνης ἰδίαν ὡμολογήσαμεν εἶναι; Ἔστω. — Ἆρα καὶ ἀρετὴ ὀφθαλμῶν ἔστιν; Καὶ ἀρετή. Πλ. Τὰ ἐπιτηδεύματα οὐ τὰ αὐτὰ ἀποδοτέα ταῖς αὐταῖς φύσειν; Τὰ αὐτά. Πλ. Χρήσιμον καὶ ἐν εἰρήνῃ δικαιοσύνη; Χρήσιμον. Πλ. — Ὀφθαλμῶν, φαμέν, ἔστιν ἔργον; Ἔστιν. Πλ. Οὐκ ἐννενόηκας ὡς ἀμαχόν τι καὶ ἀκίνητον θυμός; Ἐννενόηκα. Πλ. — Ξυμβόλαια λέγεις κοινωνήματα ἤ τι ἄλλο; Κοινωνήματα δῆτα. Πλ. Οἶσθά που τῶν γενναίων κυνῶν ὅτι τοῦτο φύσει αὐτῶν τὸ ἦθος πρὸς μὲν τοὺς συνήθεις τε καὶ γνωρίμους ὡς οἷόντε πραοτάτους εἶναι, πρὸς δὲ τοὺς ἀγνῶτας τοὐναντίον. Οἶδα μέντοι. Πλ. Ἆρ' οὐ τοῦτο τούτου ἔργον θήσομεν; Θήσομεν μὲν οὖν. Πλ. — Οὐ καὶ πείθεσθαι τοῖς ἄρχουσι φὴς δίκαιον εἶναι; Ἔγωγε. Πλ. Δοκεῖ τί σοι εἶναι ἵππου ἔργον; Ἔμοιγε. Πλ. — Ὁ θεός τε καὶ τὰ τοῦ θεοῦ πάντῃ ἄριστα ἔχει; Πῶς δ' οὔ; Πλ. Ἔστιν ὅπως οὐ πάμπολυ διαφέρει γυνὴ ἀνδρὸς τὴν φύσιν; Πῶς δ' οὐ διαφέρει; Πλ. Ὁ τρόπος τῆς λέξεως καὶ ὁ λόγος οὐ τῷ τῆς ψυχῆς ἤθει ἕπεται; Πῶς γὰρ οὔ; Πλ. — Οὐ φρονίμους τοὺς φύλακας δεῖ ὑπάρχειν καὶ δυνατοὺς καὶ κηδεμόνας τῆς πόλεως; Ἔστι ταῦτα. Πλ. Οὐ κἂν ἔλαττον γίγνηται, ἐκ μείζονος ὄντος πρότερον ὕστερον ἔλαττον γενήσεται; Ἔστιν οὕτως. Πλ. — Οὐκ ἐν μόνῃ τῇ τοιαύτῃ πόλει τόν τε σκυτοτόμον σκυτοτόμον εὑρήσομεν καὶ τὸν γεωργὸν γεωργόν; Ἀληθῆ. Πλ. Οὐκ ἐκεῖ μὲν ἀκολασίαν ἡ ποικιλία ἐνέτικτεν, ἐνταῦθα δὲ νόσον; Ἀληθέστατα. Πλ.

Τὸν ἐρωτᾶν καὶ ἀποκρίνεσθαι ἐπιστάμενον ἄλλο τι σὺ καλεῖς ἢ διαλεκτικόν; Οὔκ, ἀλλὰ τοῦτο. Πλ. — Ἔσθ' ὅτῳ ἂν ἄλλῳ ἴδοις ἢ ὀφθαλμοῖς; Οὐ δῆτα. Πλ. Τοῦ πεποιηκότος ὁ πεπονθὼς ἔλαττον ἕξω παρ' ὑμῖν; μὴ δῆτα. Δη. — Τί δέ; ἀκούσαις ἂν ἄλλῳ ἢ ὠσίν; Οὐδαμῶς. Πλ. Ὃν ἡ τύχη καὶ τὸ δαιμόνιον φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δ' ἐχθρὸν ἐμφανίζει, τοῦτον ἡμεῖς φοβώμεθα; Μηδαμῶς. Δη. — Σὺ τοὺς ἄρχοντας ἐν ταῖς πόλεσι τοὺς ὡς ἀληθῶς ἄρχοντας ἑκόντας οἴει ἄρχειν; Μὰ Δι' οὔκ, ἔφη, ἀλλ' εὖ οἶδα. Πλ. Οὐ καλεῖς αὐτὸν καὶ μὴ ἀφήσεις; Μηδαμῶς, ἀλλ' ἑᾶτε αὐτόν. Πλ. Οὕτω σε φῶμεν λέγειν; Ἥκιστά γε. Πλ. — Ἔστι τι ἀγαθόν; Ἔστιν. Τούτῳ ἐστί τι ἐναντίον πλὴν τὸ κακόν; Οὐκ ἔστιν. Τί δὲ; ἔστι τι ὀξὺ ἐν φωνῇ; Ἔφη. Τούτῳ μή ἐστί τι ἐναντίον ἄλλο πλὴν τὸ βαρύ; Οὐκ ἔφη. Πλ. — Ἥκιστα ἂν πολλὰς μορφὰς ἴσχοι ὁ θεός; Ἥκιστα δῆτα. Πλ. — Μείζονά τινα καὶ ὀξυτέραν ἔχεις εἰπεῖν ἡδονὴν τῆς περὶ τὰ ἀφροδίσια; Οὐκ ἔχω, ἦ δ' ὅς, οὐδέ γε μανικωτέραν. Πλ. — Ἡγεῖ τινά ποτ' ἂν γενέσθαι ἀνδρεῖον τὸν θάνατον δεδιότα; Μὰ Δία, ἦ δ' ὅς, οὐκ ἔγωγε. Πλ. Τί σοι ἔτι ποιήσω; ἢ εἰς τὴν ψυχὴν φέρων ἐνθήσω τὸν λόγον; Μὰ Δι', ἦν δ' ἐγώ, μὴ σύ γε, ἀλλ' ἃ ἂν εἴπῃς, ἔμμενε τούτοις. Πλ. — Ὁ μηδὲν κακὸν ποιεῖ, οὐδ' ἄν τινος εἴη κακοῦ αἴτιον; Πῶς γάρ; Πλ.

§ 65. Satzgefüge.

I. Ideell und real abhängige, consecutive und finale Sätze.

1. Selbstständige Sätze werden ideell abhängig, wenn man sie als vorgestellte oder geäußerte einem einleitenden Satze anfügt. So erscheinen positive Sätze durch ὅτι oder ὡς eingeführt; interrogative sowohl durch εἰ und πότερον oder πότερα als durch ein interrogatives Adjectiv oder Adverbium, sowohl ein directes als ein indirectes angefügt. Vgl. § 51, 17 A. 2 und 54, 6 A. 2. *Λῆλον ὅτι κοινὰ τὰ φίλων ἔσται. Πλ. Ἴσως τὸ λεγόμενον ἀληθὲς ὅτι χαλεπὰ τὰ καλά. Πλ. Λέγει ὡς οὐδέν ἐστιν ἀδικώτερον φήμης. Αἰ. — Ἠρώτων αὐτὸν εἰ μηδὲν φροντίζει τῶν παρόντων. Ἰσ. Οὐκ ἔστι ὁντινοῦν ὅστις ἐξεπίσταται τὴν αὔριον μέλλουσαν εἰ βιώσεται. Εὐ. Μὴ τοῦτο βλέψῃς εἰ νεώτερος λέγω, ἀλλ' εἰ φρονοῦντος τοὺς λόγους ἀνδρὸς ἐρῶ. Μέ. Ἐπισκεψώμεθα εἰ ὁ ἄριστος εὐδαιμονέστατος καὶ ὁ κάκιστος ἀθλιώτατος ἢ ἄλλως ἔχει. Πλ. — Βούλει καὶ τοῦτο σκεψώμεθα, πότεροι ζῶσιν ἥδιον, οἱ ἄρχοντες ἢ οἱ ἀρχόμενοι; Ξε. Ἐξετάσωμεν τὰ ἔργα τοῦ οἰκονόμου καὶ τοῦ στρατηγοῦ, ἵνα εἰδῶμεν πότερον τὰ αὐτά ἐστιν ἢ διαφέρει τι. Ξε. Ἠρώτων σε πότερα μανθάνουσιν οἱ ἄνθρωποι ἃ ἐπίστανται ἢ ἃ μή. Πλ. — Ἀκούσωμεν τί ἕκαστος ἐρεῖ. Πλ. Οὐ τοῦτο ἐνενόει τί πείσοιτο, ἀλλὰ τί ἂν ποιήσας σοι χαρίσαιτο. Ξε. Οὐ φροντιστέον ἡμῖν τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς ἀλλ' ὅ, τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων. Πλ. Ἐκέλευσε λέγειν ὅ, τι γιγνώσκοι. Ξε. — Ἆρα παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ καὶ ὁποῖα κακά, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον; Πλ. Ἐννοήσας ὁποιόν τινα σε ποιεῖ ἡ σωφροσύνη παροῦσα καὶ ποία τις οὖσα τοιοῦτον ἀπεργάζοιτο ἂν εἰπὲ τί σοι φαίνεται εἶναι; Πλ. — Νῦν τις λεγέτω ποτέρως ἂν τὴν ἀρετὴν μᾶλλον οἴεται ἀσκεῖσθαι παρ' ἡμῖν, εἰ μέλλοι ὁ πλεῖστα καὶ πονεῖν καὶ κινδυνεύειν ἐθέλων πλείστης καὶ τιμῆς τεύξεσθαι ἢ ἂν εἰδῶμεν ὅτι οὐδὲν διαφέρει κακὸν εἶναι. Ξε. Βουλευσόμεθα ὅπως ἂν ἄριστα ἀγωνιζοίμεθα. Ξε.*

A. 1. Ueber den Indicativ in diesen Sätzen § 54, 6 A. 1; den Optativ eb. A. 2; den Indicativ oder Optativ mit ἄν eb. A. 6; den Conjunctiv und den ihm entsprechenden Optativ in indirecten Fragen § 54, 7 A. 1; (den Infinitiv bei ὅτι und ὡς § 55, 4 A. 10; den Infinitiv nach ὡς wie und ὅ eb. A. 7; das fehlende ὅτι eb. A. 8;) die Bedeutung des Optativs des Aorist mit und ohne ἄν § 53, 6 A. 6; das fehlende ἐστίν § 62, 1 A. 4; in ὅτι τί § 51, 17 A. 8.

A. 2. Den unverändert angeführten Worten Jemandes vorgesetzt vertritt ὅτι (nie ὡς) unser Anführungszeichen. *Πρόξενος εἶπεν ὅτι αὐτός εἰμι ὃν ζητεῖς. Ξε. Ἐδήλου ἡ γραφὴ ὅτι Θεμιστοκλῆς ἥκω παρὰ σέ. Θ.*

A. 3. Die Sätze mit ὅτι und ὡς daß sind eig. Bestimmungssätze, welche den relativen Bestimmungssätzen entsprechen, wie denn beide Conjunctionen wirklich auch ursprünglich Relative sind, ὅτι das Neu. von ὅστις. Dem gemäß beziehen sie sich oft auch auf ein vorhergehendes Demonstrativ (wohl auch auf ein τί) oder es kann dasselbe doch leicht hinzugedacht werden: der Umstand daß. Solche Sätze gebrauchte man auch exegetisch: nämlich. *Τῷ φθόνῳ τοῦτο μόνον ἀγαθὸν πρόσεστιν ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. Ἰσ. Τοῦτο γιγνώσκω ὅτι τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει. Μέ. Διενοήθημεν τὸ τοιόνδε ὅτι τὴν πόλιν ἐλευθέραν εἶναι δεῖ καὶ ἔμφρονα καὶ ἑαυτῇ φίλην. Πλ. Ἆρ' ἐπ' ἐκείνῳ γελᾶτε ὅτι οὐ δεήσει συγγυμνασιήν με ζητεῖν; Ξε. Οὐ τοῖς τῶν σοφωτάτων συγγράμμασιν ἐντετύχηκας ταῦτ' αὐτὰ λέγουσιν ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ ἀνάγκη ἀεὶ φίλον εἶναι; Πλ. (Τί ἔχεις εἰπεῖν ὡς ἄξιόν σοί ἐστι μέγα φρονεῖν ἐφ' ᾗ εἶπας τέχνῃ; Ξε.) — Μέγιστον ἀγαθὸν τῷ ὀρεγομένῳ φίλον ἀγαθὸν ποιήσασθαι ὅτι ἀνάγκη αὐτῷ ἀσκεῖν ἀρετήν. Ξε. Ἀπορῆσαι ἐποίησε τὸν Θηβαῖον ὅτι Μανινέας ὀλίγους τινὰς πάνυ εἶχεν. Ξε. Τά τε ἄλλα ζηλῶ σε τοῦ πλούτου καὶ ὅτι οἱ ἄνθρωποι, ἢν μὴ δανείσῃς, οὐκ ὀργίζονται. Ξε. — Οἶμαι ἡμᾶς ἐρεῖν ὡς ἄρα καὶ ποιηταὶ καὶ λογοποιοὶ κακῶς λέγουσι περὶ τῶν ἀνθρώπων τὰ μέγιστα, ὅτι εἰσὶν ἄδικοι μέν, εὐδαίμονες δὲ πολλοί, δίκαιοι δ' ἄθλιοι, καὶ ὡς λυσιτελεῖ τὸ ἀδικεῖν, ἐὰν λανθάνῃ. Πλ.*

A. 4. Statt eines Satzes mit ὅτι oder ὡς erscheint vielfach die Construction mit dem Infinitiv § 55, 4 mit den A., oder mit dem Particip § 56, 1—7 vgl. A. 12; letzteres überhaupt in sofern es als Prädicat zu betrachten ist, während ein Satz mit ὅτι den Gedanken als Thatsache, mit ὡς als zur Betrachtung vorliegende Thatsache, die Construction mit dem Infinitiv bloß subjectiv Aufgefaßtes oder Angenommenes vorstellt. Daher findet sich nach Verben die rein subjectiv eine unsichere Ansicht ausdrücken ὅτι oder ὡς fast niemals. So nach *οἴεσθαι, δοκεῖν, ἐλπίζειν, φάναι*. Denn auch in *φάναι* liegt ein subjectiver Begriff: seine Meinung sagen, während die objectiven Synonyma *λέγειν* reden (mit Bezug auf den Inhalt), *εἰπεῖν* sprechen (mit Bezug auf den Ausdruck) nicht selten auch mit ὅτι oder ὡς erscheinen. [Vereinzelt *φάναι ὅτι* Plat. Gorg 487, ὡς Dem. 4, 48, Xen. Hell. 6, 3, 7, wie *οἴεσθαι ὡς* Xen. Mem. 3, 3, 14; von Spätern *δοκεῖν ὅτι* Polyb. 28, 9, 4, *ἐλπίζειν ὅτι* Arr. An. 1, 4, 7 u. a. vgl. Thuc. 8, 54.] Daher ferner steht z. B. bei *γιγνώσκειν*, wenn es urtheilen, beschließen, bei *εἰδέναι* wenn es verstehen bedeutet der Infinitiv. *Πείθειν* mit dem Inf. heißt überreden etwas zu thun vgl. § 55, 3 A. 12; mit ὡς etwas zu glauben. *Ἐμέ γε οὐ πείθει ὡς ἔστιν ἡ ἀδικία τῆς δικαιοσύνης κερδαλεώτερον. Πλ.*

A. 5. Der Satz mit ὅτι (oder ὡς) wird zuweilen durch einen relativen oder hypothetischen von dem welchem er anzufügen ist getrennt. Doch erscheint ὅτι in solchen Fällen auch doppelt. *Ἐκέλευσεν ἀνειπεῖν, ὃς ἂν μὴ παρῇ, ὅτι αὐτὸς αὐτὸν αἰτιάσεται. Ξε. Ἠπείλουν αὐτῷ, εἰ λήψονται ἀποδιδράσκοντα, ὅτι τὴν δίκην ἐπιθήσοιεν. Ξε. — Ἔλεγεν ὅτι, εἰ μὴ καταβήσονται, ὅτι καταχαύσει τὰς κώμας. Ξε. Σαφὲς δοκεῖ εἶναι ὡς εἰ μέλλουσι πᾶσαι αἱ πρόσοδοι ἐκ πόλεως προσιέναι, ὅτι εἰρήνην δεῖ ὑπάρχειν. Ξε.*

A. 6. Ein Satz mit ὅπ oder ὡς (auch mit εἰ ob) kann sich auf einen zu ergänzenden Gedanken wie: damit man einsehe beziehen, wenn als Nachsatz desselben eine Aufforderung folgt. *Ὅτι οὐ λῃρῶ, ἐκεῖθεν*

τὸν λόγον θεωρήσατε. Αἰ. Ὡς (ὅτι) ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας. Ἀνδ. — (Εἰ εἰκότα λογίζομαι, σκόπει καὶ ταῦτα. Ξε.)

A. 7. Nach Verben der Gefühle, besonders nach *θαυμάζειν*, kann ein Fragesatz eintreten, in sofern sie den Wunsch zu wissen mit andeuten, wie miror quid, zuweilen unser ich begreife nicht was. *Ἐθαύμαζον ὅποι ποτὲ τρέψονται καὶ τί ἐν νῷ ἔχοιεν. Ξε. Ἔγωγε ὅ, τι ποτὲ ἐρεῖ πρὸς ἡμᾶς θαυμάζω. Δη. Τοῦτο ἴσως θαυμάζεις σὺ πῶς ἐγὼ ἀνήλωκα. Ξε. Θαυμάζω πότερα ὡς κρατῶν βασιλεὺς αἰτεῖ τὰ ὅπλα ἢ ὡς δῶρα. Ξε.*

A. 8. Wie *ἦ* nur in der directen, so steht *εἴ* nur in der indirecten Frage. Nach Begriffen der Ungewißheit entspricht es auch unserm ob nicht, indem der Grieche die reine Ungewißheit ausspricht wo wir eine präsumtive Möglichkeit andeuten. *Οὔτε τῷ πολιτικῷ δῆλον εἰ συμφέρει τῆς πόλεως προστατεῖν οὔτε τῷ καλὴν γήμαντι, ἵνα εὐφραίνηται, δῆλον εἰ διὰ ταύτης ἀνιάσεται. Ξε. Πολλὰ δύσκολα εὕροις ἂν ἐν τοῖς πᾶσιν, ἀλλ' εἰ πλείονα τὰ συμφέροντ' ἔνεστι τοῦτο δεῖ σκοπεῖν. Μέ. Τίς οἶδεν εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν, τὸ ζῆν δὲ θνήσκειν ἐστίν; Εὐ. Τὰ ἐκπώματα οὐκ οἶδ' εἰ Χρυσάντᾳ τούτῳ δῶ. Ξε.*

(A. 9. Aehnlich findet sich *εἴ* nach Begriffen der Furcht, da auch sie eine Ungewißheit ist, für unser ob oder ob nicht, also dem *μὴ οὐ* wie dem *μή* synonym. *Φόβος εἴ μοι ζῶσιν οὓς ἐγὼ θέλω. Εὐ. Φέρουσά σοι νέους ἥκω λόγους φόβῳ μὲν εἴ τις δεσποτῶν αἰσθήσεται. Εὐ. Οὐ δέδοικα εἰ Φίλιππος ζῇ, ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν καὶ τιμωρεῖσθαι. Δη. (Φοβοῦνται ὅποι ποτὲ προβήσεται ἡ τοῦ ἀνδρὸς δύναμις. Ξε.)*

A. 10. Elliptisch stehen *εἴ* u. *ἐάν*, indem nach Begriffen der Wahrnehmung ein um zu erkennen, nach denen der Verrichtung ein um zu ermitteln, zu versuchen (*πειρώμενος*) vorschwebt. *Ἄκουε εἴ τι ἄρα λέγω. Πλ. Ἄκουσον ἦν τι καὶ γυνὴ λέξῃ σοφόν. Εὐ. Ἄθρει εἰ τὰ προσήκοντα ἑκάστοις ἀποδιδόντες τὸ ὅλον καλὸν ποιοῦμεν. Πλ. — Ἀγωνίζομαι εἰ χρή μοι μετεῖναι τῆς πόλεως. Ἰσ. Διεξεληλύθασι διὰ πασῶν τῶν ζημιῶν οἱ ἄνθρωποι προστιθέντες, εἴ πως ἧσσον ἀδικοῖντο ὑπὸ τῶν κακούργων. Θ. Τί δέ; εἰ καὶ σὺ παρακελεύσαιο, εἰ ἄρα τι καὶ σὺ ἀμείνους ποιήσαις τοὺς στρατιώτας; Ξε. Τὸ ἐξῆς τούτοις πειράσομαι διελθεῖν, ἐάν πως ἐκκαλέσωμαι καὶ ἐλεήσαντέ με σπουδάσητον. Πλ.*

A. 11. In der indirecten Doppelfrage erscheint neben *πότερον, πότερα* oder *εἰ — ἤ* häufig *εἴτε — εἴτε*. (*Ὁπότερα, εἴτε λαθόντες τὸν Λύσανδρον ἐπέπεσον αὐτῷ, εἴτε καὶ αἰσθόμενος προσιόντας ὡς κρατήσων ὑπέμενεν ἄδηλον. Ξε.*) *Παρὰ τῆς Ἑκάτης ἔξεστι τοῦτο πυθέσθαι, εἴτε τὸ πλουτεῖν εἴτε τὸ πεινῆν βέλτιον. Ἀρ. Τοὺς παῖδας οὔπω ἴσιε εἴτε ἀγαθοὶ εἴτε κακοὶ ἡβήσαντες γενήσονται. Λυ. (Ἐβουλεύσαντο εἴτε διακινδυνεύσωσιν ἐσπλεῦσαι, εἴτε κατὰ γῆν ἔλθωσιν. Θ.)*

2. Real abhängig sind Sätze die eine Folge des Hauptsatzes ausdrücken. Die Folge ist entweder eine unbeabsichtigte oder eine beabsichtigte: consecutive oder finale Sätze.

3. Die unbeabsichtigte Folge bezeichnet *ὥστε* mit einem bestimmten Modus, gew. dem Indicativ, wenn sie

als eine positive Thatsache ausgesprochen wird; ὥστε mit dem Infinitiv, wenn sie als eine der Beschaffenheit des Hauptsatzes oder eines Begriffes desselben gemäße Wirkung zu denken ist; auch von wirklich Geschehenem in sofern es als eine solche Wirkung bloß gedacht wird. Vgl. § 55, 3 A. 6 und über das Subject eb. 2 A. 1. *Οὕτως ἰσχυρόν ἐστιν ἡ ἀλήθεια ὥστε πάντων ἐπικρατεῖ τῶν ἀνθρωπίνων λογισμῶν. Αἰ. Τὰ ἐν τῷ βίῳ οὕτως ἡμῖν δοκεῖ πανιὸς ἄξια ὥστε πάντες τὸ καταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν. Ξε. Λακεδαιμόνιοι τοσοῦτον ἀπολελειμμένοι τῆς κοινῆς παιδείας καὶ φιλοσοφίας εἰσὶν ὥστ' οὐδὲ γράμματα μανθάνουσιν. Ἰσ. — Κλέαρχος ἤλαυνεν ἐπὶ τοὺς Μένωνος, ὥστε ἐκείνους ἐκπεπλῆχθαι. Ξε. — Χρὴ εἰς τοιοῦτον ἀγῶνα μηδέποτε καταστῆναι ὥστε πάντα λαβεῖν ἢ πάντ' ἀποβαλεῖν. Ξε. Μὴ ἡ βία σε μηδαμῶς νικησάτω τοσόνδε μισεῖν ὥστε τὴν δίκην πατεῖν. Σο. Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους ἢ τοὺς τῶν ἄλλων ὅρκους. Ἰσ. Τὰ παραδείγματα τὰ γεγενημένα τῶν ἁμαρτημάτων ἱκανὰ τοῖς σώφροσι τῶν ἀνθρώπων ὥστε μηκέτι ἁμαρτάνειν. Ἀνδ. — (Τοσοῦτόν τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖσθαι εἶναι ὥστε νομίζω τῷ ὄντι αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. Ξε.)*

A. 1. Dem gemäß steht es in der Bedeutung weshalb, daher nur mit einem bestimmten Modus, dem Indicativ, auch mit ἄν, dem Optativ, meist mit ἄν, dem Imperativ und imperativen Conjunctiv; nur mit dem Infinitiv nach Comparativen (§ 49, 4 vgl. 1) und wenn es etwas zu Erstrebendes bezeichnet (synonym mit ὅπως), wie in der Bedeutung unter der Bedingung daß und in den Verbindungen wo auch der bloße Infinitiv statthaft wäre. (Vgl. m. A. zum Thuc. I, 119 u. 2, 2, 4.) *Ἀρκεῖ μοι μικρὰ καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ, ὥστε καὶ σιγῶ καὶ λέγω βουλευσάμενος. Αἰ. Κλεάρχου τὸ χαλεπὸν ἐρρωμένον πρὸς τοὺς πολεμίους ἐδόκει εἶναι, ὥστε σωτήριον καὶ οὐκέτι χαλεπὸν ἐφαίνετο. Ξε. — Τὸ χωρίον πανταχόθεν κάτοπτόν ἐστιν, ὥστε τίς ἂν ἀπετόλμησεν ἐπιχειρῆσαι τοιούτῳ πράγματι; Λυ. — Εἴ τις χρῷτο τῷ ἀργυρίῳ ὥστε πριάμενος κακόν τι διὰ τοῦτο κάκιον ἔχοι, πῶς ἂν ἔτι τὸ ἀργύριον αὐτῷ ὠφέλιμον εἴη; Ξε. — Οὐκ ἐδίδαξεν, ὥστε αὐτοὺς ἂν ἡμᾶς δέοι τούς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν. Ξε. (Ἐπίστασθε, ὥστε κἂν ἄλλοις εἰκότως ἂν διδάσκοιτε. Ξε.) — Τὰ πολλὰ ὁ Πρωταγόρας ἔνδον διατρίβει, ὥστε θάρρει. Ξε. — Ἕτοιμος καὶ Κέβης, ὥστε μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σαυτὸν σῶσαι, μήτε ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ δυσχερές σοι γενέσθω. Πλ.*

Χρὴ πάντα ποιεῖν ὥστε ἀρετῆς καὶ φρονήσεως μετασχεῖν. Πλ. Οἱ πρόγονοι ὑμῶν ἀποθνήσκειν ἐτόλμων ὥστε μὴ τὴν πόλιν ἀδοξεῖν. Λυκ. Ἐξὴν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων ὥστ' αὐτοὺς ὑπακούειν βασιλεῖ. Δη. Ὁ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο. Ξε. Πολλάκις γέγονεν ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν ἀσθενεστέρων κρατηθῆναι. Ἰσ. Ἀδύνατον ὑμῖν ὥστε Πρωταγόρου τοῖδε σοφώτερον ἑλέσθαι. Πλ.

A. 2. Dem Infinitiv nach ὥστε wird ἄν beigefügt wo in selbstständiger Rede ἄν mit (dem Optativ oder) dem Indicativ eines historischen Tempus stehen würde. (Ἐγὼ ἐπὶ τούσδε ἐλῶ, ὥστε ἂν ἀναγκασθῆναι ἡμῖν προσέχειν τὸν νοῦν. Xε.) Σωκράτης οὕτως ἤδη τότε πόρρω τῆς ἡλικίας ἦν ὥστε, εἰ καὶ μὴ τότε (sc. ἐτελεύτησεν), οὐκ ἂν πολλῷ ὕστερον τελευτῆσαι τὸν βίον. Xε. (vgl. § 54, 10 A. 2.) Δέκα μῆνας ἀποληφθέντος τἀνθρώπου, ὥστε μὴ ἂν δύνασθαι ἐπανελθεῖν οἴκαδε, τῶν ὑμετέρων αὐτῶν οὐδὲν ἐνομίσασθε. Δη, (vgl. § 54, 3 A. 10·)

A, 3. Ueber ἐφ' ᾧ (τε) unter der Bedingung daß mit dem Infinitiv § 55, 3 A. 6. Mit dem Indicativ des Futurs findet sich diese Formel besonders bei Thucydides. vgl. § 55, 3 A. 6. Μετὰ τὴν ἐν Κορωνείᾳ μάχην τὴν Βοιωτίαν ἐξέλιπον Ἀθηναῖοι πᾶσαν, σπονδὰς ποιησάμενοι ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. Θ. (Πάντα κίνδυνον ὑποδύνονται ἐφ' ᾧ πλείονα κτήσονται. Xε.)

A. 4. Mehrfach eben so wie ὥστε findet sich, jedoch viel seltener, ὡς mit dem Infinitiv (vgl. 49, 4, neben ὥστε Xen. ἱππ. 10, 12), zuweilen auch mit dem Begriffe des Beabsichtigten, der aber mehr im Infinitiv als in der Conjunction enthalten ist. [So am häufigsten bei Spätern, besonders bei Arrian. Vgl. Sintenis zu Plut. Them. 26.] Ueber ὡς εἰπεῖν u. a. § 55, 1 A. 2 u. 3. Ἐδόξατέ μοι φάναι τῆς ἀρετῆς μόρια εἶναι οὕτως ἔχοντα πρὸς ἄλληλα ὡς οὐκ εἶναι τὸ ἕτερον αὐτῶν οἷον τὸ ἕτερον. Πλ. Ἐπίσταμαι ἰδιώτας ὄντας ὡς πρὸς ἡμᾶς ἀγωνίζεσθαι. Xε. — Φέρονται σῖτον μὲν ἄρτον, πιεῖν δέ, ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. Xε. Ἔχεις τι εἰπεῖν ὡς μὴ μισεῖσθαι. Xε. (Ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν. Xε. — Οὕτω πολλὰ ἔχω ὡς μόλις αὐτὰ καὶ ἐγὼ αὐτὸς εὑρίσκω. Xε. Οὐκ ἄν ποτε οὕτω μωροὶ ἦσαν ὡς εἰ ἤδεσαν, ἐν τῷ ἄστει ἂν ὑποχειρίους αὐτοὺς παρεῖχον. Xε. Τοιοῦτόν τι ἐποίησεν ὡς πᾶς ἂν ἔγνω ὅτι ἀσμένη ἤκουσεν. Xε — Πάντα ταῦτα οὕτως ἡδέα μοι δοκεῖ εἶναι ὡς μᾶλλον ἥδεσθαι, ποιῶν ἕκαστα, οὐκ ἂν εὐξαίμην. Xε.)

4. Die bezweckte oder beabsichtigte Folge bezeichnen ἵνα, ὡς, ὅπως, wie negativ μή ne, ἵνα μή, ὡς μή, ὅπως μή mit dem Conjunctiv oder Optativ: finale Sätze. S. § 54, 8 A. 1 ff.

A. 1. Ueber μή (οὐ) nach Begriffen der Furcht eb. A. 9—13.

A. 2. Ueber die Modi des Präsens und Aorist § 53, 6 A. 4; über die Zweckpartikeln mit dem Indicativ § 54, 8 A. 12, historischer Tempora eb. A. 8.

A. 3. Mit dem Indicativ des Futurs stehen die Relative von einer beabsichtigten Bestimmung gebraucht nach § 53, 7 A. 7; so auch oft ὅπως nach § 54, 8 A. 5. 6 vgl. A. 7.

A. 4. Ueber ἵνα τί § 51, 17 A. 8.

A. 5. Ueber ὅπως (μή) u. (ὅπως) μή ohne Hauptsatz § 54, 8 A. 7. 13. Ueber einen nach ἵνα oder ὡς fehlenden Zwischengedanken eb. A. 14.

A. 6. Ueber das finale Particip des Futurs § 56, 12 A. 1. vgl. 10 A. 1; 53, 7 A 9.

II. Hypothetische, relative, temporale, causale Sätze.

5. Ein Verhältniß von Grund und Folge findet sich auch bei den hypothetischen Sätzen. S. § 54, 9—12 mit den A.

A. 1. Umwandelung finaler Verhältnisse in hypothetische: *τὸν κακὸν δεῖ κολάζειν,, ἵν' ἀμείνων ᾖ = ἐὰν τὸν κακὸν κολάσῃς, ἀμείνων ἔσται.* vgl. § 54, 8 A. 1 mit 12 A. 1; ferner 8 A. 8 mit 10 A. 2.

Uebersicht der gewöhnlichsten hypothetischen Verhältnisse.

A. 2. A) Rein objective Bedingung: im Vordersatze *εἰ* mit dem Indicativ; im Nachsatze der Indicativ ohne *ἄν*, wenn die Folge als nothwendig oder unausbleiblich erscheint (§ 54, 9 vgl. 12 A. 2); der Optativ mit *ἄν*, wenn sie als von Umständen abhängig vorgestellt wird. vgl. § 54, 3 A. 6 und 7. *Εἰ ἐθέλεις ἐννοῆσαι τήν γε τῶν ἄλλων ἀνδρίαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. Ξε. Εἰ ἐς ἀλλήλους ἄδικον φρονήσετε, ἐκ πάντων τῶν ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι ἀποβαλεῖτε. Ξε. — Εἰ τοῦτο ἀγνοεῖς ὅτι πίστις ἀφορμὴ πασῶν ἐστι μεγίστη πρὸς χρηματισμόν, πᾶν ἂν ἀγνοήσειας. Λη. Εἰ ἄλλοι τινὲς τῶν αὐτῶν πραγμάτων πρότερον ἐπεμελήθησαν, εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν. Ἰσ. Εἰ οὗτοι ὀρθῶς ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχυιτε. Θ. Κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου, εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν. Σο.*

A. 3. B) Objective Bedingung mit der Idee eventueller Verwirklichung: im Vordersatze *ἐάν, ἤν, ἄν* mit dem Conjunctiv; über den Nachsatz § 54, 12 A. 1. Ueber den Conjunctiv des Ao. § 53, 6 A. 5. *Ἐὰν μὲν καλὴν γήμω, ἕξω κοινήν, ἐὰν δὲ αἰσχράν, ποινήν. Πιτταχός.*

A. 4. C) Rein subjective, bloß gedachte, Bedingung, ohne Vorurtheil für oder gegen die Verwirklichung: im Vordersatze der Optativ, im Nachsatze der Optativ mit *ἄν*, wenn die Consequenz als eine eventuelle; mit dem Indicativ ohne *ἄν*, wenn sie als eine unzweifelhafte zu denken ist. Ueber den Opt. des Ao. § 53, 6 A. 5. (Ueber *εἰ* mit dem Conjunctiv § 54, 12 A. 3.) *Εἰ κατασταίην εἰς ἔλεγχον καὶ λόγον, δυνηθείην ἂν ἐπιδεῖξαι πάντας ἀνθρώπους πλείους ἐπιστήμας ἔχοντας διὰ τῆς ἀκοῆς ἢ διὰ τῆς ὄψεως. Ἰσ. — Τὸ λέγειν εὖ δεινόν ἐστιν, εἰ φέροι τινὰ βλάβην. Εὐ. Τί δεῖ καλῆς γυναικός, εἰ μὴ τὰς φρένας χρησιὰς ἔχοι; Εὐ. Ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσει μοι χάριν; Εὐ.*

A. 5. D) Subjective Bedingung mit der Idee daß sie nicht wirklich sei: im Vordersatze *εἰ* mit dem Indicativ eines historischen Tempus, im Nachsatze der Indicativ eines historischen Tempus ohne *ἄν*, wenn die Folge als unausbleiblich erscheint nach § 54, 10 A, 1 vgl. 12 A. 7; der Indicativ eines historischen Tempus mit *ἄν*, wenn sie als eventuell verwirklicht vorzustellen ist. Vergangenes als Bedingung ausgesprochen kann nicht anders als bezweifelt oder nicht wirklich scheinen. Denn sonst würde es aufhören Bedingung zu sein, statt wenn müßte da eintreten. Ueber die Bedeutung der verschiedenen historischen Tempora § 54, 10 A. 2. 3. *Ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος ἐπεγένετο. Θ. Εἰ ἐγὼ ἤδη ἠκηκόη τὴν ἐπίδειξιν, οὐδὲν ἂν ἐκώλυέ σε αὐτίκα μάλα εἰδέναι τὴν ἀλήθειαν· νῦν δὲ οὐκ ἀκήκοα. Πλ.*

(A. 6. Auch durch den Indicativ des Präsens (und Futurs nach § 54, 12 A. 2) ausgedrückt kann eine Bedingung als zweifelhaft erscheinen, ja als bestimmt abgelehnt. Im Nachsatze pflegt dann, wie zuweilen auch nach dem Indicativ eines Imperfects oder Aorist, der Optativ mit ἄν einzutreten. *Εἰ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην. Ξε. Πολλὴ ἄν τις εὐδαιμονία εἴη περὶ τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, οἱ δ' ἄλλοι ὠφελοῦσιν. Πλ. — Οὐκ ἂν θαυμάζοιμι, εἰ τότε πειρώμενός μου ταῦτά πως ἔλεγες. Πλ. Τὸ πρῶτον τοῦ ᾄσματος μανικὸν ἂν φανείη, εἰ ἐνέβαλε τὸ μέν. Πλ.*)

A. 7. Umgekehrt kann εἰ mit dem Indicativ auch eines historischen Tempus von einer nicht bezweifelten Sache vorkommen, besonders in sofern man den Anschein doch wohl noch denkbaren Zweifels annimmt. So am häufigsten nach θαυμάζω u. ä. Begriffen, wo es denn dem ὅτι synonym erscheint. *Οὐ δίκαιον, εἴ τινες τοὺς ἁπαντῶντας τύπτουσι, τῆς ῥώμης κατηγορεῖν. Ἰσ. Ἔλεγον οὐ καλῶς τὴν Ἑλλάδα ἐλευθεροῦν αὐτόν, εἰ ἄνδρας διέφθειρεν οὔτε χεῖρας ἀνταιρομένους οὔτε πολεμίους. Θ. — Τόδε ἐθαύμασα, εἰ ἐν ἀρετῆς καὶ σοφίας τίθης μέρει τὴν ἀδικίαν, τὴν δὲ δικαιοσύνην ἐν τοῖς ἐναντίοις. Πλ. Θαυμαστὸν οὐδὲν πεποιήκαμεν οὐδ' ἀπὸ τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχὴν διδομένην ἐδεξάμεθα. Θ. — Οὐκ αἰσχύνομαι, εἰ τῶν νόμων ἔλαττον δύναμαι. Ἀνδ. Πότερον ἐπὶ τούτῳ γελᾶτε, εἰ βούλομαι γυμναζόμενος μάλλον ὑγιαίνειν ἢ εἰ ἥδιον ἐσθίειν καὶ καθεύδειν; Ξε. Δημοσθένης οὐκ ἀγαπᾷ, εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσεται ἀγαναχτεῖ. Αἰ. Φθονεῖς ἄπαις οὖσ', εἰ πατὴρ ἐξεῦρέ με. Εὐ.*

A. 8. Ueber die Bedeutung des Conjunctivs und Optativs des Aorist in hypothetischen Sätzen § 53, 6 A. 5; das hypothetische Particip § 56, 11; mehrere Bedingungssätze bei einem Hauptsatze § 54, 12 A. 8. Εἰ mit dem Optativ kann auch, wenn im Nachsatze ein historisches Tempus steht, iterative Bedeutung haben vgl. § 54, 12 A. 5. *Εἴ τινες διώξειαν αὐτούς, τούτους, ὁπότε ἀποχωροῖεν, ἐπικείμενοι καὶ ἀκοντίζοντες δεινὰ εἰργάζοντο. Ξε.*

A. 9. Ein Satz mit εἴ τις, ἐάν τις kann als Casus eintreten (gleich den relativen Sätzen § 51, 13 A. 1—5), übersetzbar wer etwa, si quis. Vgl. § 60, 10 A. 1. *Ἀθηναῖοι καὶ εἴ τινες τῶν ξυμμάχων παρῆσαν ἐπλήρουν τὰς ναῦς. Θ. Λίδασκε εἴ τι ἔχεις σοφόν. Ξε. Ποιοῦσιν ὑμᾶς εἴ τι τυγχάνουσιν ἀγαθόν. Ἀνδ.*

A. 10. (Urgirt wird die Bedingung durch die Formel εἰ τὰ μάλιστα wenn auch noch so sehr. *Τίνος ἕνεκ', εἰ τὰ μάλιστα μὴ τινὲς ἀλλὰ πάντες ἦσαν ἀνάξιοι, τῶν αὐτῶν ἠξίωσεν ὑμᾶς τε καὶ τούτους. Δη.*)

A. 11. In einzelnen Fällen kann bei den Bedingungspartikeln das Verbum fehlen. So ἔστι bei εἰ, ein Begriff des Hinderns bei εἰ μὴ διὰ — nach § 54, 12 A. 10. Häufig ist aus dem Hauptsatze besonders zu εἴπερ und εἴπερ ποτέ das Verbum zu ergänzen. So erhielt εἰ μή die Bedeutung außer, nisi (selbst in der Verbindung εἰ μὴ εἰ). Seltener steht ähnlich ὅτι μή. *Οὐ κελεύσω, εἰ μὴ ξυμφέρον. Θ. Αἱρήσει Θεαίτητον ἢ τῶν ἄλλον εἴ τις σοι κατὰ νοῦν. Πλ. — Οὐ τὸ μὴ βούλεσθαι, ἀλλ', εἴπερ, τὸ μὴ δύνασθαι διακωλύσει. Πλ. Φημὶ δεῖν ἐθελῆσαι, εἴπερ ποτέ, καὶ νῦν. Δη. — Ἡμῖν οὐδέν ἐστιν ἀγαθὸν ἄλλο εἰ μὴ ὅπλα καὶ ἀρετή. Ξε. (Ὁ χρηματιστικὸς πρὸς τὸ κερδαίνειν τὴν τοῦ τι-*

μᾶσθαι ἡδονὴν ἢ τὴν τοῦ μανθάνειν οὐδενὸς ἀξίαν φήσει, εἰ μὴ εἴ τις αὐτῶν ἀργύριον ποιεῖ. Πλ.) Σωκράτης οὔτ' ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθεν, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος. Πλ. Vgl. § 62, 1 A. 4.

A. 12. Auch die Adversationsformel *εἰ δὲ μή* wenn aber nicht steht häufig ohne Verbum, z. B. nach *μάλιστα μέν* am liebsten, was am besten ist. Zuweilen ist dabei ein bloß dem Zusammenhange gemäßes Verbum zu denken. Einmal stereotyp geworden erscheint *εἰ δὲ μή* auch nach *ἐὰν μέν*; und selbst, da der Begriff der Negation in dem allgemeinen widrigenfalls aufgegangen ist, nach negativen Sätzen für *εἰ δέ*. *Μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων· εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις ὀρθῶς ἔχοντα. Ἰσ. — Ἐὰν μέν τι ὑμῖν δοκῶ λέγειν ἀληθές, ξυνομολογήσατε· εἰ δὲ μή, παντὶ λόγῳ ἀντιτείνετε. Πλ. — Ἀπῇτει τὰ χρήματα· εἰ δὲ μή* (sc. *λήψεται*), *πολεμήσειν ἔφη αὐτοῖς. Ξε. — Πόλεμον οὐκ εἴων ποιεῖν· εἰ δὲ μή, καὶ αὐτοὶ ἀναγκασθήσεσθαι ἔφασαν φίλους ποιεῖσθαι οὓς οὐ βούλονται. Θ. Εὔχου μὴ λαβεῖν πεῖραν φίλων· εἰ δὲ μή, γνώσῃ σεαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν. Φιλ. (Τί οὐκ ἀπέδειξας, εἰ μὲν βούλει ἐρωτῶν ἐμὲ ὥσπερ ἐγὼ σέ· εἰ δέ* (sc. *βούλει*), *καὶ αὐτὸς ἐπὶ σαυτοῦ λόγῳ διέξελθε. Πλ.*)

A. 13. Ueber den fehlenden Nachsatz § 54, 12 A. 12; ein scheinbares Fehlen desselben bei *ἢ εἰ* — eb. A. 11; Fehlen des Bedingungssatzes eb. A. 9.

A. 14. Eine Auslassung ähnlich der § 54, 8 A. 14 und § 65, 1 A. 6 erlaubte man sich zuweilen auch bei hypothetischen Sätzen: so wisse man daß, man würde sagen daß. *Εἴ τις διλογεῖν ἡμᾶς οἴεται, ὅτι περὶ τῶν αὐτῶν λέγομεν νῦν τε καὶ πρόσθεν, οὐ διλογία ταὐτά ἐστιν. Ξε. Εἰ ἤσθα μειρία, τἆλλά γ' ἤδισθ' ἂν θεῶν πέφυκας. Εὐ. Ἀνοσιώτατον πρᾶγμα καὶ ἀπιστότατον ἐποίησεν, εἰ μή τις εἰδείη τὴν τούτου μανίαν. Αν. — Οὐκ ἔστι λύπης, ἥνπερ ὀρθῶς τις σκοπῇ, ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώποις φύσει. Δη.*

A. 15. *Καὶ εἰ* (*καὶ ἐάν*) auch wenn, selbst wenn, sogar dann wenn ist verschieden von *εἰ καί* (*ἐὰν καί*) wenn auch, wenn schon. Bei *καὶ εἰ* denkt man den Hauptsatz als unabweislich bei jeder Bedingung, selbst bei der ausgesprochnen, die als äußerste erscheint; bei *εἰ καί* die Bedingung, die wohl auch eintreten könne, als gleichgültig für den Hauptsatz. *Τῆς γῆς κρατοῦντες, καὶ εἰ θαλάττης εἴργοιντο, δύναιντ' ἂν καλῶς διαζῆν. Ξε. Ἡγεῖτο ἀνὴρ εἶναι ἀγαθοῦ ὠφελεῖν τοὺς φίλους, καὶ εἰ μηδεὶς μέλλοι εἴσεσθαι. Αν. Καὶ εἰ μηδένα ἀνθρώπων ᾐσχύνου, τοὺς θεοὺς ἐχρῆν σε δεδιέναι. Αν. Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ. Μέ. — Μὴ ἀτιμάσωμεν εἰπεῖν, εἰ καί τῳ σμικρότερον δοκεῖ εἶναι. Πλ. (Εἰ καὶ διενοήθημεν ὅτι μάλιστα τῆς δίποδος ἀγέλης εἶναί τινι θρεπτικὴν τέχνην, οὐδέν τι μᾶλλον ἡμᾶς ἔδει βασιλικὴν αὐτὴν προσαγορεύειν. Πλ. Τίς ἔστιν ὅστις, εἰ καὶ μηδεὶς ἄλλος ἐπῆν ἀγὼν ἔτι μηδὲ κίνδυνος, οὐκ ἂν ἐπ' αὐτῷ τούτῳ κατέδυ; Δη.) Τὰ δίκαια πάντες, ἐὰν καὶ μὴ βούλωνται, αἰσχύνονται μὴ πράττειν. Δη. (Οὕτω καὶ περὶ τῶν ἀρετῶν, κἂν εἰ πολλαὶ καὶ παντόδαπαί εἰσιν, ἕν γέ τι εἶδος ταὐτὸν ἔχουσιν. Πλ.)*

A. 16. Da *εἰ καί* die Bedingung als eine solche die auch eintreten könne vorstellt, so ist es zuweilen durch unser wenn gleich, obgleich zu übersetzen. In andern Fällen gehört das *καί* (wie auch *μηδέ* nach *εἰ*) zum folgenden Begriffe. *Εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν*

ἴσ' ἀντιλέξαι· τοῦδε γὰρ κἀγὼ κρατῶ. Σο. — Δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών. Σο. Εἰ καὶ μηδέν μοι τούτων ὑπῆρχε, δικαίως ἂν τῶν μεγίστων ἠξιώθην. Ἰσ.

A. 17. Von *οὐδέ* und *μηδέ* selbst nicht vor *εἰ*, *ἐάν* (*ἐπειδάν*) gehört nur das in ihnen enthaltene *καί* selbst zum Bedingungs-, die Negation zum Hauptsatze: mithin ist *οὐδ' εἰ* (*ἐάν*) = *καὶ εἰ* (*ἐάν*) —, *οὔ*. Auch könnten sie, wenn schon der Hauptsatz mit einer Negation vorangeht, epanaleptisch vor *εἰ*, *ἐάν* eintreten. Ueber den ähnlichen Gebrauch des *οὐδέ* bei Participien § 56, 13 A. 2. Von *εἰ καί* ist die Negation *εἰ μηδέ*. *Οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς οὐδ' εἰ συνέβη τι παρὰ τῶν θεῶν χρηστὸν μνημονεύουσιν. Δη. Οὐδ' ἂν δεκάκις ἀποθάνῃ Φίλιππος, οὐδὲν μᾶλλον ὑμεῖς γε κινήσεσθε. Δη. Οὐδ' εἰ τρὶς ὅσα νῦν κέκτησαι προσγένοιτό σοι, οὐδ' ὡς ἂν ἱκανά μοι δοκεῖ εἶναι σοι. Ξε. (Ὁ τύραννος οὐδ' ἐπειδὰν εἴσω τῆς οἰκίας παρέλθῃ ἐν ἀκινδύνῳ ἐστίν. Ξε.) — Οὐκ ἂν τὰ θεῖα κρυπτόντων θεῶν μάθοις ἄν, οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν. Σο. Οὐ πείσεις, οὐδ' ἢν πείσῃς. Ἀρ. Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν μακρὸν νόμιζε, κἂν δὺ' εἴπῃ συλλαβάς· τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρόν, μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ καὶ πολὺν χρόνον. Φιλ. — Ἔμοιγε δοκεῖ καὶ εἰ μηδ' ἐν τῇ αὐτῇ πόλει εἴη τῷ κεκτημένῳ, πάντα τοῦ οἴκου εἶναι ὅσα τις κέκτηται. Ξε.*

A. 18. In der obliquen Rede wird, wenn im Hauptsatze ein historisches Tempus steht (vgl. § 54, 6 A. 2), von einem hypothetischen Satze der Indicativ der directen Rede in den Optativ verwandelt, oft jedoch auch beibehalten (vgl. § 54, 6 A 2); immer bei Sätzen der § 54, 10 erwähnten Art (ein Beispiel § 54, 14 A. 2); der Conjunctiv mit *ἄν* bald beibehalten, bald in den Optativ ohne *ἄν* verwandelt nach § 54, 12 A. 4. *Ἔλεγον ὅτι εἰ βλαβερὰ πεπραχὼς εἴη, δίκαιος εἴη ζημιοῦσθαι. Ξε. Τῆς ἐπιμελείας ἔφησθα ὄφελος οὐδὲν εἶναι, εἰ μή τις ἐπίσταιτο ἃ δεῖ καὶ ὡς δεῖ ποιεῖν. Ξε. Οἱ προεστῶτες ἐλογίζοντο ὡς εἰ μὴ μάχοιντο, ἀποστήσοιντο αἱ περιοικίδες αὐτῶν πόλεις. Ξε. Εἴ τις πόλις ἐπὶ πόλιν στρατεύσοι, ἐπὶ ταύτην ἔφη πρῶτον ἰέναι. Ξε. Γιγνώσκειν ἔφασαν φθονοῦντας αὐτούς, εἴ τι σφίσιν ἀγαθὸν γίγνοιτο, ἐφηδομένους δ', εἴ τις συμφορὰ προσπίπτοι. Ξε. — Προεῖπον ἡμῖν ὅτι εἰ μὴ παρεσόμεθα συστρατευσόμενοι, ἐκεῖνοι ἐφ' ἡμᾶς ἴοιεν. Ξε. Εἶπε στρατηγοὺς ἑλέσθαι ἄλλους, εἰ μὴ βούλεται Κλέαρχος ἀπάγειν. Ξε.*

6. Die relativen Sätze sind entweder Neben-, Bestimmungs- oder Bedingungssätze. S. § 54, 13 A. 1.

A. 1. Die relativen Nebensätze sind als selbstständige Sätze zu betrachten und es erscheinen daher in ihnen auch die verschiedenen Formen dieser, am gewöhnlichsten der Indicativ (meist ohne *ἄν*) oder der Optativ mit *ἄν*. vgl. § 54, 13 A. 2. *Παρῆν ὁ Μηδοσάδης τῷ Σεύθῃ, ὅσπερ ἐπρέσβευσεν αὐτῷ πάντοσε. Ξε. Ἐάν ποτε συμβῇ τι πταῖσμα, ἃ πολλὰ γένοιτ' ἂν ἀνθρώπῳ, ἥξει πάντα πρὸς ὑμᾶς. Δη. (Ἀνάγκη δούλῳ πληγαὶ καὶ ὁ τοῦ σώματος αἰκισμός, ἃ μήτε γένοιτ' οὔτε λέγειν ἄξιον. Δη.)*

A. 2. Eben so findet sich in relativen Bestimmungssätzen gewöhnlich der Indicativ oder der Optativ mit *ἄν*. *Οὐδεμίαν ἡγοῦμαι τοιαύτην εἶναι τέχνην ἥτις τοῖς κακῶς πεφυκόσι πρὸς ἀρετὴν σωφροσύνην ἂν καὶ δικαιοσύνην ἐμποιήσειεν. Ἰσ. Οἱ ποιηταὶ*

τοιούτους λόγους περὶ τῶν θεῶν εἰρήκασιν οἵους οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν εἰπεῖν τολμήσειεν. Ἰσ. — Οὓς ἐδυνήθησαν συνειλήφασιν. Ξε. Ἤν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, ἤδη πάρεσιν. Δη. Μετρίων καὶ ὢν ἐν εἰρήνῃ τις καὶ πολιτείᾳ δύναιτ' ἂν ἐφικέσθαι, εὐνοίας, δικαιοσύνης, ἐπιμελείας, τῶν τοιούτων, καὶ συμφέρειν ἔμοιγε δοκεῖ καὶ χρῆναι διδόναι τὰς τιμάς. Δη.

A. 3. Ueber den wünschenden Optativ § 54, 14 A. 1; über den Optativ mit und ohne ἄν nach (präsentischen) Zeitformen die eine bloße Idee ausdrücken eb. A. 3. 4.

A. 4. In der obliquen Rede erscheint der Optativ ohne ἄν nach Relativen nicht leicht anders als wenn ein historisches Tempus vorangeht. Daneben findet sich auch in diesem Falle (seltener bei Neben- als bei Bestimmungssätzen) der Indicativ; nothwendig in Sätzen der § 54, 14 A. 2 erwähnten Art; durch Assimilation der Indicativ eines historischen Tempus nach § 54, 10 A. 6. Ueber den Infinitiv § 55, 4 A. 9. Εἶπεν ὅτι ἄνδρα ἄγοι ὃν εἴρξαι δέοι. Ξε. Παρήγγειλεν ὁ Τηρίβαζος παρεῖναι τοὺς βουλομένους ὑπακοῦσαι ἣν βασιλεὺς εἰρήνην καταπέμποι. Ξε. Εὔξαντο σωτήρια θύσειν ἔνθα πρῶτον εἰς φιλίαν γῆν ἀφίκοιντο. Ξε. — Ἔλεγον ὅτι ἄκρα τίς ἐσιν ἔνδον καὶ πολέμιοι πολλοί, οἳ παίουσιν ἐκδεδραμηκότες τοὺς ἔνδον ἀνθρώπους. Ξε. — Προσκαλῶν τοὺς φίλους ἐσπουδαιολογεῖτο ὡς δηλοίη οὓς τιμᾷ. Ξε.

A. 5. Eben so findet sich nach einem historischen Tempus der Optativ, wenn der Gedanke als Vorstellung des Subjects des Hauptsatzes ausgesprochen ist; degsleichen in iterativer Bedeutung. Οὔποτε ἐπανόμην ἡμᾶς οἰκτείρων, διαθεώμενος αὐτῶν ὅσην χώραν καὶ οἵαν ἔχοιεν. Ξε. — Ὅπου δειπνοποιοῖτο καὶ καθεύδοι, πῦρ νύκτωρ ἔκαεν. Ξε. Ὁντινα ἴδοιμι καλόν, τούτῳ προσήειν. Ξε.

A. 6. Ueber den Indicativ mit ἄν § 54, 14 A. 2.

A. 7. Ueber das hypothetische Relativ § 54, 15 A 1—4; die Bedeutung der Conjunctive und Optative des Aorist § 53, 6 A. 5.

A. 8. Ueber das synonyme Particip § 56, 11 A.

A. 9. Neben dem Conjunctiv und Optativ erscheint auch der Indicativ hypothetisch, mehr jedoch mit der Idee des Positiven. Gemischte Beispiele verschiedener Arten hypothetischer Sätze zur Prüfung. Vgl. auch § 54, 14 A. 4. Δίκαια δοκεῖ λέγειν Πρωταγόρας ἀξιῶν αὐτῷ τε ἐξεῖναι διαλέγεσθαι ὅπως βούλεται καὶ σοὶ ὅπως ἂν αὖ σὺ βούλῃ. Πλ. Λακεδαιμόνιοι ἱκανοί εἰσι καὶ εἷς ἕκαστος ἐν ταῖς πόλεσι ὅ, τι βούλονται διαπράττεσθαι. Ξε. Ἔδωκεν ἡ στρατιὰ οὕστινας βούλοιτο προελόμενον ἰέναι. Ξε. Εἴ τις ὑμῶν γυναῖκα ἔχει, θαρρῶν διδασκέτω ὅ, τι βουλοιτ' ἂν αὐτῇ ἐπισταμένῃ χρῆσθαι. Ξε. Ἐπορευόμεθα διὰ ταύτης τῆς χώρας ὅποι ἐβουλόμεθα, ἢν μὲν ἐθέλοιμεν πορθοῦντες, ἢν δ' ἐθέλοιμεν καταχαίοντες. Ξε. Οὔ μήτε διδάσκαλοι μήτε μαθηταὶ εἶεν, καλῶς ἂν εἰκάζοιμεν μὴ διδακτὸν εἶναι. Πλ. Οὐδὲν οὕτως ὁρῶ φαῦλον ἔργον ὁποῖον οὐκ ἀρχοῦσαν ἂν τροφὴν ἐμοὶ παρέχοι. Ξε. Στρατεύοιτο πότερος ἂν ῥᾷον, ὁ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν ἢ ᾧ τὸ παρὸν ἀρκοίη; Ξε. Οὐκ ἦν ὅ, τι ἂν ἐποιεῖτε μόνοι. Δη. Οὐδεὶς ἀφῖκται χρόνου συχνοῦ ἐκεῖθεν ὅστις ἂν ἡμῖν σαφές τι ἀγγεῖλαι οἷός τ' ἦν (ᾖ) περὶ τούτων. Πλ. Χρὴ ὅσ' ἂν θεοὶ διδῶσι, φεύγειν μηδὲν ὦ τέκνον ποτέ. Σο.

Σαθρόν, ὡς ἔοικε, ἔσι φύσει πᾶν ὃ ἄν μὴ δικαίως ᾖ πεπραγμένον. Δη. Ὠφέλιμα εὑρίσκετο πάντα ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι. Ξε.

(A. 10. Ueber das hypothetische Relativ ohne *ἄν* mit dem Conjunctiv § 54, 15 A. 3; dasselbe mit *ἄν* und dem Optativ eb. A. 4.)

A. 11. Ueber das finale und qualitative Relativ mit dem Indicativ des Futurs § 53, 7 A. 7. 8; das synonyme Particip eb. A. 9 und § 56, 12 A. 1. vgl. eb. 10 A. 1.

A. 12. Ueber die Assimilation der Relative § 51, 10 mit den A.; die Stellung eb. 11 vgl. 5 A. 1; die Anfügung des Nomens an das Relativ eb. 12; die Substantivirung des relativen Satzes für alle Casus eb. 13 mit den A. Das relative Adverbium involvirt ein demonstratives eb. A. 9. Verbindung mehrerer Relative eb. 14. mit den A.

A. 13. Incongruenz des Relativs (*ὅς, ὅστις* auf ein eigenschaftliches Substantiv bezogen) § 51, 13 A. 11; Relative ohne einen da stehenden Begriff auf den sie sich beziehen § 51, 13 A. 12. 14; Ergänzung eines kurzen Satzes eb. A. 13; Ergänzung des Verbums zum Relativ § 51, 13 A. 15 vgl. § 62, 1 A. 4; desgleichen bei *ὅστις δή, ὁστισοῦν* ꝛc. § 51, 15 A. 1—4; Ergänzung eines Zwischengedankens § 51, 13 A. 13.

7. Auch die temporalen Sätze sind entweder Neben-, Bestimmungs- oder Bedingungssätze.

A. 1. Ueber die temporalen Conjunctionen § 54, 16 A. 1. 6. Selten erscheinen vor ihnen correlate Demonstrative, am häufigsten *πρότερον* vor *πρίν* und *τότε* vor *ὅτε, ὅταν.*

(A. 2. Temporale Nebensätze, die sich selten finden, sind als selbstständige zu betrachten. *Ὀλίγον πρόσθεν, ὅτε ἐγὼ ἔφη πλουτεῖν, ἐγέλασας. Ξε. Φίλιππος φυλάξας τοὺς ἐτησίας ἐπιχειρεῖ, ἡνίκ' ἂν ἡμεῖς μὴ (οὔ?) δυναίμεθα ἀφικέσθαι. Δη.* Ein Beispiel des Infinitivs in obliquer Rede § 55, 4 A. 9.)

A. 3. In temporalen Bestimmungssätzen erscheint von einer individuellen Thatsache die einer bestimmten Zeit angehört der Indicativ nach § 54, 16 vgl. eb. A. 1; der Indicativ eines historischen Tempus durch Assimilation nach § 54, 10 A. 6; der Conjunctiv meist in Verbindung mit *ἄν*, wenn ein Präsens oder Futur, der Optativ ohne *ἄν* von bloß Gedachtem, wenn ein historisches Tempus oder ein Optativ mit *ἄν* im Hauptsatze steht, vgl. § 54, 17 A. 1. 2; eben so in obliquer Rede, jedoch nicht nothwendig vgl. eb. A. 4. *Ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, μὴ πρότερον προλαμβάνετε. Δη. — Σωκράτης γεωμετρίαν μέχρι τούτου ἔφη δεῖν μανθάνειν ἕως ἱκανός τις γένοιτο γῆν μέτρῳ ὀρθῶς διανεῖμαι. Ξε. Ἦν σύνθημα, ἐπεὶ καθίζοιντο, παίειν εὐθύς. Ξε. Πορεύεσθαι ἐκέλευσεν ἡσύχως ἕως ἄγγελος ἔλθοι. Ξε. (Ἐκέλευε προκαταλαβεῖν τὸ ἄκρον, ἕως ἂν αὐτὸς ἔλθοι. Ξε.* Vgl. § 54, 11 A. 2.)

A. 4. Unser sobald als drückt der Grieche gew. aus durch *ἐπεί* oder *ἐπειδὴ τάχισια* oder *πρῶτον. Οἱ τριάκοντα ᾑρέθησαν, ἐπεὶ τάχιστα τὰ τείχη καθῃρέθη. Ξε. Ἐπειδὴ τάχιστα ἐδοκιμάσθην, ἐπεξῆλθον τοῖς τριάκοντα ἐν Ἀρείῳ πάγῳ. Λυ. Ὡς τάχιστα ἕως ὑπέφαινεν, ἐθύοντο. Ξε. (Ἐπειδὰν θᾶττον συνίῃ τις τὰ λεγόμενα,*

καὶ τροφὸς καὶ μήτηρ καὶ παιδαγωγὸς καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου διαμάχονται ὅπως ὡς βέλτιστος ἔσται ὁ παῖς. Πλ. Ἢν τὰ τῶν θεῶν ἡμῖν θᾶττον συγκαταινῇ, ἐξίωμεν ὡς τάχιστα. Ξε. Νόμον φαμὲν θήσειν, ὅταν πρῶτον γένωνται νομοθέται. Δη.)

A. 5. Eben so haben hypothetische temporale Sätze nach § 54, 17 A. 1 vgl. A. 3 den Conjunctiv, meist in Verbindung mit *ἄν*, wenn ein Präsens oder Futur, den Optativ ohne *ἄν*, wenn ein historisches Tempus, wie auch wenn ein Optativ oder Infinitiv im Hauptsatze steht vgl. eb. A. 2. Als Vergangenes vorgestellt bezeichnet ein hypothetischer temporaler Satz mehrfach Vorgekommenes (iterativ), welche Bedeutung wir theils dadurch daß wir *ὅτε, ὁπότε, ἐπεί* durch so oft übersetzen, theils gar nicht genauer ausdrücken. S. die Beispiele § 54, 17 A. 1. Dagegen bezeichnet die Construction mit dem Conjunctiv auch für die Zukunft Gültiges, also allgemeine Wahrheiten.

A. 6. In Bezug auf den Conjunctiv und Optativ des Aorist beachte man gerade hier sorgfältig das § 53, 6 A. 5 Bemerkte (welches auch auf temporale Bestimmungssätze anzuwenden ist), um nicht gelegentlich ganz falsch zu übersetzen. So heißt *ἕως ἄν, ἔστ' ἄν ἄρχωσι* so lange sie beherrschen, *ἕως ἄν, ἔστ' ἄν ἄρξωσι* bis sie zur Herrschaft gelangt sind. Denn auch das Eintreten der Handlung (§ 53, 5 A. 1. 2) kann der Aorist hier wie in jeder Art hypothetischer Sätze bezeichnen. So ist auch z. B. *ἐάν, ὅταν νομίσῃ, διανοηθῇ* zu übersetzen: wenn er die Ansicht gefaßt hat. *Ἐν νηὶ δεῖ διαπονεῖσθαι, ἕως ἂν εἰς οὖρον καταστῶσιν. Ξε. (Αἱ ἐπιθυμίαι αἰτιζόμεναι τὰ σώματα τῶν ἀνθρώπων καὶ τὰς ψυχὰς καὶ τοὺς οἴκους οὔποτε λήγουσιν, ἔσθ' ἂν ἄρχωσιν (ἐπειδὰν ἄρξωσιν) αὐτῶν. Ξε. Χρὴ ὅταν μὲν τιθῆσθε τοὺς νόμους ὁποῖοί τινές εἰσι σκοπεῖν· ἐπειδὰν δὲ θῆσθε, φυλάττειν καὶ χρῆσθαι. Δη. Ὅταν ἕκαστος διανοηθῇ ὡς ἄλλος ἔσται ὁ πράσσων καὶ μαχόμενος, τούτοις εὖ ἴστε ὅτι πᾶσιν ἅμα πάντα ἥξει τὰ χαλεπὰ φερόμενα. Ξε.*

A. 7. Ueber die Vertretung temporaler Sätze mit *ὅτε, ὁπότε, ἐπεί* durch das Participp § 56, 10 A. 1.

(A. 8. Wenn auf einen temporalen (Bestimmungs-) Satz ein allgemeiner Gedanke oder eine Beschreibung folgt, so fehlt ein Zwischengedanke, wie: so geschah was — oder: so fand sich ein Ort der —. *Ἐπειδὴ ἐδιώκομεν, ἀληθῆ ὑμεῖς λέγετε. Ξε. Ἐπεὶ ἐρῆμον χῶρον εἰσεβάλλομεν, ἀκτή τίς ἐστιν. Εὐ.*)

8. Caussale Sätze, die einen Grund des Hauptsatzes angeben, werden eingeführt durch *ὅτι* und *διότι* weil, seltener *ὡς* und *ἐπεί* da, mit dem Indicativ (oder mit *ἄν* und dem Optativ); in obliquer Rede nach einem historischen Tempus mit dem Optativ oder Indicativ. *Τριήρης ἡ σεσαγμένη ἀνθρώπων διὰ τί ἄλλο φοβερόν ἐστι πολεμίοις ἢ φίλοις ἀξιοθέατον ἢ ὅτι ταχὺ πλεῖ; διὰ τί δὲ ἄλλο ἄλυποι ἀλλήλοις εἰσὶν οἱ ἐμπλέοντες ἢ διότι ἐν τάξει κάθηνται; Ξε. Ἦ καὶ βασιλεύειν ἐπίστασαι, ὅτι οἶσθα ἐπαινέσαντα Ὅμηρον τὸν Ἀγαμέμνονα, ὡς βασιλεὺς εἴη ἀγαθός; Ξε. Πρὸς ταῦτα κρύπτε μηδέν, ὡς ὁ πάνθ' ὁρῶν καὶ πάντ' ἀκούων πάν-*

τ' ἀναπτύσσει χρόνος. Σο. Δεῖ μὴ μόνον κεκτῆσθαι τὰ ἀγαθά, ἀλλὰ καὶ χρῆσθαι αὐτοῖς, ὡς οὐδὲν ὄφελος τῆς κτήσεως γίγνεται. Ιλ. Μέγα τὸ ὁμοῦ τραφῆναι, ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων. Ξε.

A. 1. Ὅτι ist rein objectiv, ὡς eig. ſubjectiv, etwas als bloß Scheinendes, Vorgeſtelltes bezeichnend, daher auch oft unſer als ob, wie beim Particip, das zuweilen bei ὡς neben dem Indicativ oder Optativ erſcheint. Ὃ ἐζήλωσας ἡμᾶς (τοὺς τυράννους), ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνάμεθα, τοὺς δ' ἐχθροὺς μάλιστα χειρούμεθα, οὐδὲ τοῦθ' οὕτως ἔχει. Ξε. — Ὡς στρατηγήσοντα ἐμὲ μηδεὶς λεγέτω, ὡς δὲ τῷ ἀνδρὶ ὃν ἂν ἕλησθε πείσομαι. Ξε. Οὐκ ἠβούλοντο τοῖς μετὰ Θρασύλου συντάττεσθαι, ὡς αὐτοὶ μὲν ὄντες ἀήττητοι, ἐκεῖνοι δὲ ἡττημένοι ἥκοιεν. Ξε. [Vgl. Xen. Mem. 4, 2, 30, Hell. 6, 3, 20, Soph. Oed. K. 861; über ὡς ſei überzeugt daß mit dem Indicativ Elmsley zu Eur. Med. 596.]

A. 2. Ueber ὅτε, ὁπότε, ἐπεί, ἐπειδή weil § 54, 16 A. 3.

A 3. Ueber cauſſale Sätze durch Participia mit oder ohne ἅτε oder ὡς ausgedrückt § 56, 12 A. 1. 2.

III. Nachſatz. Parataktik. Oblique Verhältniſſe.

9. Der Nachſatz wird im Griechiſchen nicht (wie von uns durch ſo) durch ein eigenes Wort markirt. Wo er anfängt ergibt ſich theils aus dem Zuſammenhange theils daraus daß er gern mit einem betonten Worte anhebt. Doch wird dem erſten Worte, namentlich nach Zeitpartikeln, zuweilen auch, ſelbſt wenn es wenig betont iſt, noch ein δή eben beigefügt. Ἐπεὶ καὶ ἐνταῦθα ἐχώρουν οἱ Ἕλληνες, λείπουσι δὴ καὶ τὸν λόφον οἱ ἱππεῖς. Ξε.

A. 1. Oefter findet ſich im Nachſatze mit Hervorhebung, beſonders gegenſätzlich, ein der Conjunction deſſelben correlates Adverbium oder eine entſprechende Präpoſition mit dem erforderlichen Caſus von τοῦτο, ähnlich wie bei den Participien § 56, 10 A. 3. Ἐπεὶ ἀποστρέφειν αὐτὸν ἐπειρῶντο ἐξ Ἰσθμοῦ, ἐνταῦθα οὐκέτι πείθεται. Ξε. Ἐπεὶ ὑπετέμνοντο αὐτόν, ἐνταῦθα δὴ βοηθεῖν ἐκέλευεν. Ξε. Ὅταν πλεῖστα τις ἔχῃ, τότε πλεῖστοι τούτῳ καὶ φθονοῖσι καὶ ἐπιβουλεύουσι καὶ πολέμιοι γίγνονται. Ξε. Ἐπειδὴ ἐγίγνωσκεν ἀποθανούμενος, ἐνταῦθ' ἤδη τῇ ἀληθείᾳ ἐχρῆτο. Ἀντ. (Φημὶ δεῖν, ἐὰν μὴ ἐθέλωσι ποιεῖν ταῦτα, τότ' ἤδη μετὰ τῶν ἐθελόντων ἡμᾶς γίγνεσθαι. Δη.) Ἐπειδὴ ἀπολέλαυκα τοῦ πράγματος καὶ πρεσβύτερος γέγονα, τηνικαῦτα ταπεινὴν ποιῶ τὴν φιλοσοφίαν. Ἰσ. Ἐπειδὰν κριθεὶς τις ἐξελεγχθῇ, τηνικαῦτα ἀδικήματα γίγνεται. Δη. Ἐπειδὴ τοὺς εὐσεβεῖς ἐξέβαλον, οὕτως ἤδη στρατείαν ἐποιήσαντο. Αἰ.

Ὡς ἐνέκλιναν οἱ πελτασταί, ἐν τούτῳ οἱ ἱππεῖς ἐπέθεντο. Ξε. Ἐπεὶ οὗτοι ἤρξαντο ἄνδρας καλούς τε καὶ ἀγαθοὺς συλλαμβάνειν, ἐκ τούτου κἀγὼ ἠρξάμην τἀναντία τούτοις γιγνώσκειν. Ξε.

(A. 2. Aehnlich findet ſich zuweilen epanaleptiſch ταῦτα οὖν mit einem dem Verbum des temporalen Satzes ſynonymen Particip, wie

ὁπότε ἐνθυμοίμην — ταῦτ' οὖν λογιζόμενος Xen. An. 3, 1, 20 vgl. Hell. 6, 5, 25. Häufiger erscheint eine solche Epanalepsis, wenn statt des temporalen Satzes ein Participium vorhergeht, wie *ὁρῶν — ταῦτα διανοηθείς* Isokr. 16, 32 vgl. 12, 46, *ἡγούμενος — ταῦτα διανοηθείς* Lys. 3, 13, *ἐννοηθέντες — ταῦτα ἐνθυμουμένοις* Xen. Cyr. 4, 2, 3. *Γιγνώσκων ὁ Κρόνος ὡς ἀνθρωπεία φύσις οὐδεμία ἱκανὴ τὰ ἀνθρώπινα διοικοῦσα αὐτοκράτωρ πάντα μὴ οὐχ ὕβρεως τε καὶ ἀδικίας μεστοῦσθαι, ταῦτ' οὖν διανοούμενος ἐφίστη βασιλέας γε καὶ ἄρχοντας ταῖς πόλεσιν ἡμῶν δαίμονας. Πλ.*)

10. Ueber parataktische Verbindung von Sätzen § 59, 1 A. 5 ff.; von Sätzen mit Begriffen eb. 2 A. 4 f.

(A. Von parataktisch verbundenen Sätzen ist der erste zuweilen dem Gedanken nach einem relativen oder temporalen Nebensatze gleich. *Ἐπεὶ ἐπὶ Θήραις ἦσαν, ἦν τις Ἡρακλείδης· οὗτος προσιὼν ἑκάστῳ ἔλεγεν ὅτι Σεύθης ἄρχων ἔσοιτο. Ξε. Καρδούχους ἔφασαν βασιλέως οὐκ ἀκούειν, ἀλλὰ καὶ ἐμβαλεῖν ποτε εἰς αὐτοὺς βασιλικὴν στρατιάν, τούτων δ' οὐδένα ἀπονοστῆσαι. Ξε.*)

11. Uebersicht der obliquen Verhältnisse. In der obliquen Rede sind an sich alle Modi zulässig.

A. 1. Der Indicativ ist nothwendig in ideell abhängigen Sätzen die sich einem (nicht historischen) Präsens oder Futur anfügen nach § 54, 6 A. 1, indem der Gedanke hier als rein objective Thatsache von dem vortragenden Subjecte auszusprechen ist. So selbst in der Fortsetzung einer obliquen Darstellung, z. B. nach *γάρ* eb. A. 4.

A. 2. Der Optativ erscheint in der obliquen Rede in der Regel nur nach einem historischen Tempus, indem der Gedanke bloß als von dem Subject des Hauptsatzes Vorgestelltes wiedergegeben wird. So in ideell abhängigen Sätzen nach § 54, 6 A. 1, auch in der Fortsetzung nach *γάρ* ꝛc. eb. A. 4; nach *εἰ* § 54, 12 A. 4 u. § 65, 5 A. 18; bei Relativen § 65, 6 A. 4; in temporalen Sätzen § 54, 17 A. 4.

A. 3. Statt des Optativs findet sich auch nach einem historischen Tempus häufig der Indicativ, indem der Grieche überhaupt die objectivirende Darstellung liebt. So in ideell abhängigen Sätzen nach § 54, 6 A. 2, nach Relativen § 65, 6 A. 4.

A. 4. Der Conjunctiv steht in der obliquen Rede in finalen, hypothetischen, relativen und temporalen Sätzen, in derselben Weise wie in nicht obliquer Rede; regelmäßig, wenn ihr Hauptsatz von einem Präsens oder Futur, zuweilen auch (meist als Uebergang zu directer Rede), wenn derselbe von einem historischen Tempus ideell abhängig ist, auch wenn das bestimmte Tempus des Hauptsatzes Infinitiv oder Particip geworden ist. S. § 54, 8 A. 1. 12 A. 4. 15 A. 2. 17 A. 4.

A. 5. Ueber den Infinitiv in obliquer Rede § 55, 4 A. 9.

A. 6. Wo wir eine oblique Rede mit dem Conjunctiv fortsetzen: es sei aber —, denn es sei —, sodann sei — ꝛc. findet sich im Griechischen in der Regel nur bei einem eng angefügten Satze mit *δέ*

oder γάρ der Optativ vgl. § 54, 6 A. 4. Aber selbst in solchen Fällen kann, in andern muß die Construction mit dem Infinitiv eintreten, die dann oft ganze Seiten hindurch ohne ein hinzugefügtes ἔφη oder einen ähnlichen Ausdruck fortgesetzt wird. *Ἔλεγεν ὁ Βρασίδας αὐτοῖς φίλος ὢν ἰέναι· Θεσσαλοῖς τε οὐκ εἰδέναι καὶ Λακεδαιμονίοις ἔχθραν οὖσαν· νῦν τε ἀκόντων ἐκείνων οὐκ ἂν προελθεῖν· οὐδὲ γὰρ ἂν δύνασθαι· οὐ μέντοι ἀξιοῦν γε εἴργεσθαι. Θ.*

A. 7. Der oblique Infinitiv tritt oft plötzlich nach der directen Rede ein, besonders da wo aus einem, meist sinnverwandten Begriffe derselben leicht *ἐνόμιζον* oder *εἶπον* für ihn ergänzt werden kann. So *ἐνόμιζον* aus *διενοοῦντο* Thuc. 6, 96, aus *φοβούμενοι* 4, 8, aus *ἐς δέος κατέστησαν* 4, 108, aus *ὁρῶν* 7, 42 vgl. 4, 27; *διενοοῦντο* aus *ἦν αὐτῶν ἡ διάνοια* 4, 52, aus *προσεῖχον τὸν νοῦν* 6, 93; *ἔφη* aus *παρήνει* 8, 46, aus *ἠξίου* 4, 3 vgl. 4, 87, *εἶπον* (nach *ἀλλά*) aus *οὐκ ἐᾶν* 5, 41. Manches noch Auffallendere der Art findet sich besonders bei Thucydides.

A. 8. Andrerseits gehen die Griechen bei ihrer Vorliebe für directe Darstellung oft, besonders nach *ὅτι*, plötzlich aus der obliquen Rede in die directe über; selten umgekehrt. *Ἐνταῦθα δὴ Κῦρον εἰπεῖν αὐτῷ ἀπιόντα θαρρεῖν, ὅτι παρέσται αὖθις· ὥστε ὁρᾶν σοι ἐξέσται. Ξε. Ἔλεγον ὅτι Λακεδαιμόνιοι βούλονται τὴν εἰρήνην εἶναι· εἴη δ' ἄν, εἰ τοὺς Ἕλληνας αὐτονόμους ἀφεῖτε. Θ. (Μόλις διαπραξάμενος ἦκω· λέγειν γὰρ Ἀναξίβιον ὅτι οὐκ ἐπιτήδειον εἴη. Ξε.)*

A. 9. Wo die Lateiner in der Fortsetzung einer obliquen Rede eine Aufforderung durch den bloßen Conjunctiv ohne ut, wir durch er möchte — sollte — ausdrücken, pflegen im Griechischen die Infinitive *δεῖν, χρῆναι* oder eine ähnliche Ausdrucksweise einzutreten. Doch findet sich auch der bloße Infinitiv, wie *πέμψαι* Thuc. 4, 50, nach dem Relativ § 55, 4 A. 9; eben so in einem Vertrage, wie 4, 118. 8, 58.

A. 10. In relativen Sätzen assimilirt sich die Form ihres Verbums mehrfach der des Hauptsatzes. vgl. § 53, 2 A. 7. 54, 6 A. 3. 10 A. 6.

Dritter Abschnitt: von den aklitischen Redetheilen.

§ 66. Adverbia.

1. Adverbia stehen im Griechischen als Bestimmungen nicht bloß von Adjectiven, Verben oder Adverbien, sondern auch von Substantiven, ohne Artikel § 50, 8 A. 19, mit demselben eb. A. 8—10., 15. *Οὐκ ἄξιοί ἐσμεν τοῖς Ἕλλησιν οὕτως ἄγαν ἐπιφθόνως διακεῖσθαι. Θ.*

